# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΝΕΟΦΑΝΟΥΣ ΜΑΡΤΥΡΟΣ

# ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΕΞ ΙΧΘΥΟΣ

## ΤΗΣ ΚΟΡΙΝΘΙΑΣ

ΜΕΤΑ ΠΡΟΛΕΓΟΜΕΝΩΝ

ΥΠΟ ΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ

ΘΕΣΣΑΛΙΩΤΙΔΟΣ ΚΑΙ ΦΑΝΑΡΙΟΦΕΡΣΑΛΩΝ

ΙΕΖΕΚΙΗΛ

ΤΟΥ ΑΠΟ ΒΕΛΑΝΙΔΙΑΣ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ
ΤΥΠΟΙΣ «ΦΟΙΝΙΚΟΣ» ΟΔΟΣ ΣΤΑΔΙΟΥ 44
1930

ΤΩι

ΑΝΤΙΠΡΥΤΑΝΕΙ ΚΑΙ ΑΚΑΔΗΜΑΪΚΩι

ΚΩΝ. Ι. ΔΥΟΒΟΥΝΙΩΤΗι

ΤΑΚΤΙΚΩι ΚΑΘΗΓΗΤΗι ΤΗΣ ΘΕΟΛΟΓΙΑΣ

ΤΟΥ ΑΘΗΝΗΣΙ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ

ΚΑΙ ΤΗΣ ΡΙΖΑΡΕΙΟΥ ΕΚΚΛΗΣ. ΣΧΟΛΗΣ

ΦΙΛΙΑΣ ΠΟΛΥΕΤΟΥΣ ΕΝΔΕΙΞΙΣ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ♦ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ ♦

# Ο ΝΕΟΦΑΝΗΣ ΑΓΙΟΣ ΝΙΚΟΛΑΟΣ Ο ΕΞ ΙΧΘΥΟΣ ΚΑΙ ΟΙ ΑΓΙΟΙ ΝΙΚΟΛΑΟΙ ΤΟΥ ΟΛΟΥ ΕΝΙΑΥΤΟΥ

Περιοδεύοντες πρὸ διετίας ἀνὰ τὴν Πίνδον ἐπεσκέφθημεν ἔρημον ἀπὸ πολλῶν ἐτῶν διαλελυμένην Μονὴν τῆς Ἁγίας Τριάδος τῆς Σιάμου [1] ἐκεῖ δὲ περιεργαζόμενοι καὶ ἀναδιφῶντες εὕρομεν ἐντὸς τοῦ Ἱεροῦ βήματος εἰς σιτόβρωτον ἑρμάριον χειρόγραφον κώδικα μὲ γραφὰς διαφόρων ἐποχῶν, τὸν ὁποῖον καὶ παρελάβομεν ἀφιερώσαντες τοῦτον εἰς τὴν βιβλιοθήκην τῆς Θεολογικῆς Σχολῆς τοῦ Ἀθήνησι Πανεπιστημίου. Τὸν κώδικα περιέγραψε συνοπτικῶς ὁ ἐν τῇ ἰδίᾳ σχολῇ καθηγητὴς κ. Κ. Ι. Δυοβουνιώτης [2]. Μεταξὺ ἄλλων παρετηρήσαμεν ἀναδιφῶντες τὸν κώδικα ὅτι ἐμπεριεῖχεν ἀκολουθίας δύο νέων μαρτύρων Δαμιανοῦ τοῦ ὁσιομάρτυρος, καταγομένου ἐκ τοῦ χωρίου Μυρίχοβον, τῆς παροικίας ἡμῶν, καὶ Νικολάου τοῦ Νεοφανοῦς, ὃν ἐν ἀρχῇ ὑπελάβομεν ὡς τὸν ὁσιομάρτυρα Νικόλαον τὸν ἐν Βουνένοις, τοῦτον κατὰ τὴν ἄρχουσαν γνώμην ἐν τῇ παροικίᾳ ἡμῶν ἀθλήσαντα. Καὶ τὴν μὲν βιογραφίαν καὶ ἀκολουθίαν Δαμιανοῦ τοῦ νέου ἀντεγράψαμεν ἐν ἀντιπαραβολῇ μὲ ἀκολουθίαν τοῦ ἰδίου Δαμιανοῦ εὑρισκομένην ἐν κώδικι τοῦ Πανεπιστημίου τῆς Τυβίγγης ἐν Γερμανίᾳ προμηθευθέντες ἐκεῖθεν φωτογραφικὸν ἀποτύπωμα πρὸς ἔκδοσιν.

Ὡς πρὸς δὲ τὸν Νικόλαον ἐκ τῆς μελέτης τοῦ κώδικος ἀντελήφθημεν ὅτι δὲν πρόκειται περὶ Νικολάου τοῦ ἐν Βουνένοις ἑορταζομένου τῇ 9 Μαΐου, ἀλλὰ περὶ ἄλλου νεοφανοῦς μάρτυρος Νικολάου ἑορταζομένου τῇ 14 Φεβρουαρίου τῇ ἰδίᾳ ἡμέρᾳ, καθ' ἣν ἑορτάζεται καὶ ὁ Δαμιανός. Ὁ κώδιξ πλὴν τῆς ἀκολουθίας, περιέχει καὶ ἐγκωμιαστικὸν λόγον Δαμασκηνοῦ Ἱερομονάχου τοῦ Στουδίτου, οὗ ἡ ἀρχὴ «ἐγκώμιον εἰς τὸν νεομάρτυρα Νικόλαον τὸν νεοφανῆ συγγραφὲν παρὰ τοῦ ἐν Ἱερομονάχοις ἐλαχίστου Δαμασκηνοῦ τοῦ Στουδίτου», ὅστις εἶναι ὁ περίπυστος κατόπιν Ἱεράρχης Λιτῆς καὶ Ῥενδίνης ὁ καὶ συντάκτης τῆς ὅλης ἀκολουθίας [3], ὅστις ὀνομάζει τὸν Νικόλαον ἐξ Ἰχθύος ἕλκοντα τὸ γένος, διότι πατρίδα εἶχε τὸ χωρίον Ψάρη τῆς Κορινθίας.

1. Πρβλ. ἡμετέραν μελέτην αἱ Ἱερ. Μοναὶ τῆς Πίνδου Ἀθῆναι. 1929 σ. 19.
2 Πρβλ. Περιοδικὸν «Ἐκκλησία» ἀριθ. 3 Ἰανουαρίου 18, 1930.
3. Πρβλ. τὴν ἐμὴν μελέτην «Ἡ Ἱερὰ Μητρόπολις Φαναριοφαρσάλων καὶ πάσης Φθίας» Ἀθῆναι. 1929 σελ. 254. Ἀνατύπωσις ἐκ τῆς «Θεολογίας».

Ἐπὶ τῇ βάσει τῆς βιογραφίας τοῦ Ἁγίου ἠθελήσαμεν νὰ μάθωμεν ἐὰν ἡ ἐν λόγῳ ἀκολουθία ἔχει δημοσιευθῇ, καὶ ἐὰν ὁ νεοφανὴς οὗτος μάρτυς Νικόλαος εἶναι ἐκ τῶν γνωστῶν ἐν τῇ ἐκκλησίᾳ Ἁγίων.

Ὡς ἐκ τούτου κατεφύγομεν εἰς ὅλας τὰς ὅσας ἠδυνήθημεν νὰ εὕρωμεν πηγάς, ἀλλ' οὐδαμοῦ εὕρομεν ἀναφερόμενον μάρτυρα Νικόλαον ἐκ τοῦ χωρίου Ψάρη τῆς Κορινθίας καταγόμενον ἑορταζόμενον τῇ 14 Φεβρουαρίου ὡς ἀναφέρει ἡ μετὰ χεῖρας χειρόγραφος ἀκολουθία. Ἐκ τῆς ἀφορμῆς ταύτης περισυνελέξαμεν ἐκ τῶν διαφόρων πηγῶν ὅσους ἁγίους Νικολάους συνηντήσαμεν, οἵτινες ἀνέρχονται εἰς 24 κατὰ διαφόρους ἐποχὰς τοῦ ἔτους ἑορταζομένους, οὓς καὶ παραθέτομεν μετὰ τῆς ἀναγραφῆς τῶν ἐκδόσεων τῶν ἀκολουθιῶν αὐτῶν, ὅσοι ἔχουσι τοιαύτας, ἐνῷ οἱ λοιποὶ ἀπαντῶνται μὲ τὸν γνωστὸν τύπον ἐν τοῖς Μηναίοις «τῇ αὐτῇ ἡμέρᾳ», χωρίς που νὰ συναντήσωμεν τὸν ἀναζητούμενον νεοφανῆ Νικόλαον.

## II

1) Ὁ ἐν Ἱεράρχαις μέγιστος Νικόλαος ὁ Μύρων, ὃν ἡ Ἐκκλησία κατὰ Πέμπτην τῆς ἑβδομάδος ἡμέραν καθ' ὅλον τὸν ἐνιαυτὸν ὑμνολογεῖ καὶ γεραίρει, οὗτινος ἡ κυρίως μνήμη εἶναι τῇ 6 Δεκεμβρίου, πλὴν τιμᾶται καὶ κατὰ τρεῖς ἑτέρας ἡμέρας τοῦ ἐνιαυτοῦ ἤτοι τῇ 9ῃ, τῇ 10ῃ καὶ τῇ 20ῇ Μαΐου, ὧν ἑορτῶν ὑπάρχουσιν αἱ ἑξῆς ἀκολουθίαι:

α) Ἀκολουθία τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Νικολάου τοῦ ἐν Μύροις ἤτοι ἡ ἀνακομιδὴ τοῦ λειψάνου αὐτοῦ ψαλλομένη τῇ 9ῃ Μαΐου, ἐν Τριπόλει 1861.

β) Ἀκολουθία τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Νικολάου τοῦ ἐν Μύροις ψαλλομένη ἐν Κερκύρᾳ τῇ 20 Μαΐου, ἐν ᾗ διέβη ἐντεῦθεν τὸ Ἅγιον αὐτοῦ λείψανον Ἐνετίησιν ΑΨΙΘ (1719).

γ) Ἀκολουθία εἰς τὴν πάροδον τοῦ ἱεροῦ λειψάνου τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Νικολάου ἀρχιεπισκόπου Μύρων ψαλλομένη τῇ 10ῃ Μαΐου. Ἐνετίησιν 1797.

δ) Ἱεραὶ ἀκολουθίαι τρεῖς εἰς τὴν θαυμασίαν ἀνακομιδὴν καὶ μετακομιδὴν τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Νικολάου ἀρχιεπισκόπου Μύρων, ψαλλόμεναι ἡ μὲν πρώτη τῇ 10ῃ Μαΐου ποίημα Νικοδήμου τοῦ Ἁγιορείτου. Ἡ δὲ δευτέρα ποίημα τοῦ ἐν Ἱερεῦσι Ἱεροκήρυκος Κερκύρας Βίκτωρος τοῦ Κλαπατζαρᾶ, καὶ ἡ τρίτη ἀνωνύμου τινὸς



κατὰ τὴν 20 τοῦ αὐτοῦ μηνὸς ἐν Κεφαλληνίᾳ, 1851 [1].

Πρόκειται περὶ τῆς εἰς Βαrί τῆς Ἰταλίας μετακομιδῆς τοῦ λειψάνου τοῦ Ἁγίου Νικολάου.

Τὴν ἀνακομιδὴν ταύτην ἐν Ρωσσίᾳ ἑορτάζουσι τὴν 9 Μαΐου [2].

2) Νικόλαος ὁ Ὁσιομάρτυς ὁ ἐν Βουνένοις μαρτυρήσας, μεγάλως τιμώμενος ἐν τῇ Θεοσώστῳ ἡμῶν παροικίᾳ τῇ 9ῃ Μαΐου πανηγυριζόμενος πανδήμως ἐν τῷ δάσει τῶν Βουνένων, κείμενον ἐν τοῖς συνόροις τῶν ἐπαρχιῶν Καρδίτσης καὶ Λαρίσσης. Πλὴν τούτων ὅμως καὶ ἕτεροι δέκα Ἐνοριακοὶ Ναοὶ χωρίων τῆς Ἐπαρχίας Καρδίτσης τιμῶνται ἐπ' ὀνόματι τοῦ Ἁγίου, ὡς ἀναγράφεται δὲ ἐν προμετωπίδι ἐκδόσεως τῆς ἀκολουθίας του «Ναὸς τοῦ Ἁγίου πάνσεπτος διατελεῖ καὶ ἐν Κλειτσοῦ Ἀγράφων», καὶ ἐν Μεσσήνῃ (Καλαμῶν), καὶ ἐν Τυρνάβῳ.

Τὸ ἔτος τῆς ἀθλήσεως τοῦ Ἁγίου δὲν ἀναφέρεται εἰς ὅλας τὰς ἐκδόσεις τῶν ἀκολουθιῶν. Ἐν μιᾷ ἐκδόσει 1736 ἀναφέρεται ὡς ἔτος ἀθλήσεως τὸ 720 καίτοι τιτλοφορεῖται νέος ὁσιομάρτυς δὲν ἀναφέρεται δὲ ἐν τοῖς Μηναίοις, φαίνεται δὲ ἀληθὲς τὸ ἔτος τοῦτο διότι ἡ βιβλιογραφία του ὁμιλεῖ περὶ Ἀβάρων. Ἐν τούτοις ὁ γνωστὸς ἱστοριοδίφης κ. Ν. Ι. Γιαννόπουλος θεωρεῖ ὡς ἔτος ἀθλήσεως τὸ 1276. (πρβλ. Ἑβδομ. Ἐπιθ. Νεολόγου Κων)πόλεως τ. γ' σ. 746, 1893). Συνθέτης τῆς ἀκολουθίας του φέρεται ὁ Ἱερομόναχος Ἀκάκιος Διακρούσης, ὅστις εἶναι καὶ ἄλλοθι γνωστός. Ἐν ἀρχαίῳ βιβλίῳ ἐπιγραφομένῳ «Βιβλίον καλούμενον ἐκλογαὶ» ἐκδόσεως Ἐνετίας ἔτος αψλ ἤτοι 1730 ἀναφέρεται ὡς συνθέτης στίχων εἰς τὴν Ἁγίαν Τριάδα καὶ ὡς ἐξηγήσας τὰς εὐχὰς τῆς μεταλήψεως ἐν συνεργασίᾳ μετὰ τοῦ Καλλιοπίου Ἱερομονάχου τοῦ Κρητός [3]. Ἕτερος συνθέτης τῆς ἀκολουθίας τοῦ Ἁγίου «ὕφει ἑτέρῳ» ἐμφανίζεται ὁ Ἰωσὴφ Ἀρχιμανδρίτης τῆς Μεγάλης Ἐκκλησίας ὁ ἐκ Φουρνᾶ Ἀγράφων, ἀξιώσει τοῦ Λογιωτάτου Κυρίου Κωνσταντίνου, υἱοῦ τοῦ Μακαρίτου Ἀλεξίου τοῦ ἐκ κώμης Κλειτσοῦ τῶν Ἀγράφων. Οὗτος ἐν προσφωνητικῇ ἐπιστολῇ πρὸς τὸν Λογιώτατον Κωνσταντῖνον ἀναφέρει ὅτι καὶ ὁ Διακρούσης ἄλλην ***παλαιὰν ἀκολουθίαν*** διεσκεύασεν «ὥσπερ καὶ ὁ Διακρούσης τῇ σῇ ἡδίστῃ μοι λογιότητι χαριζόμενος ὡς αὐτὸς ἑαυτὸν μαρτυρεῖ ἐν τῇ ***μετὰ***

1. Πρβλ. L. Petit Bibliographie des acolouthies. Grecques Bruxelles 1926 σελ. 210.
2. Πρβλ. ***Κων. Δουκάκη*** Μ. Συναξαριστὴς Μάϊος τόμ. 5 σ. 355.
3. Πρβλ. L. Petit, E. Legrand καὶ A. Pernot, Bibliogr. Hellenique. Paris 1918 σελ. 228-229.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

***τὴν παλαιὰν ἀκολουθίαν*** τὴν γραφίδα ἱερογραφικῶς ἐκίνησεν», ἀληθὲς δὲ τοῦτο διότι ὡς διορθωτὴς ὁ Διακρούσης ἀναγράφεται ἐν ἐκδόσει Βενετίας τὸ 1657 ἔτος. Μάλιστα ὁ Ἰωσὴφ διεσκεύασε ταύτην «ἄρας καὶ καθάρας τὰ πλείω τοῦ Διακρούση ἠρανισμένα καὶ κακοζήλως συντεθειμένα ἐν τῇ παλαιᾷ καὶ μυοβρώτῳ ὁσιομαρτυρικῇ φυλλάδι».

Παρουσιάζεται δὲ καὶ ἕτερος προηγουμένως διορθώσας καὶ οὗτος τὴν ἀκολουθίαν ὁ Ἱερομόναχος Γρηγόριος Μοσχοπολίτης ὡς ἀναφέρει ἔκδοσις τῆς ἀκολουθίας ἐν Μοσχοπόλει ἔτει 1736, διότι ἡ πρώτη ἔκδοσις τοῦ Διακρούση εἶναι τοῦ 1657 ἔτους Ἐνετίας.

Ὁ Ἰωσὴφ οὗτος Ἀρχιμανδρίτης τῆς Μεγάλης Ἐκκλησίας ὁ ἐκ Φουρνᾶ τῶν Ἀγράφων, κώμης ἥτις τόσους ἀνέδειξε λογίους κληρικοὺς κατὰ τοὺς παρελθόντας αἰῶνας, εἶναι γνωστὸς καὶ ἄλλων αὐτοῦ ὁμοίων ἔργων συγγράψας νέους κανόνας εἰς τοὺς Ἁγίους Ἀναργύρους δι' ἀγρυπνίας τελουμένας ἐν τῇ Μονῇ τῶν Ἁγίων Ἀναργύρων Ζερετσίου ὡς καὶ ἐγκώμια εἰς τὸν Ἱερομάρτυρα Σεραφεὶμ Ἀρχιεπίσκοπον Φαναρίου [1]. Ἀλλὰ καὶ ὁ Ἱερομ. Γρηγόριος Μοσχοπολίτης εἶναι γνωστὸς καὶ ἐξ ἄλλων ὁμοίων ἔργων [2]. Γνωσταὶ ἐκδόσεις τῆς ἀκολουθίας τοῦ Ὁσιομάρτυρος Νικολάου τοῦ ἐν Βουνένοις εἶναι αἱ ἑξῆς [3].

α') Ἀκολουθία τοῦ Ὁσίου Νικολάου τοῦ Νέου ἐξ Ἀνατολῆς ἐν Βουνένοις ἀθλήσαντος δαπάνῃ Ματθαίου προηγουμένου τῆς ἐν Ἁγίῳ Ὄρει Ἱερᾶς Μονῆς τοῦ Φιλοθέου ***διορθωθεῖσα*** ὑπὸ Ἀκακίου Διακρούση. Ἐνετίησιν ΑΧΝΖ ἤτοι (1657).

β') Ἀκολουθία τοῦ Ἁγίου ἐνδόξου Ὁσιομάρτυρος Νικολάου τοῦ νέου τοῦ ἐξ Ἀνατολῆς ἐν Βουνένοις ἀθλήσαντος. Τυπωθεῖσα δαπάνῃ τοῦ Ἱεροῦ Μοναστηρίου τοῦ Ὁσίου Ναούμ, διορθωθεῖσα δὲ παρὰ τοῦ Ἱερομ. Γρηγορίου Μοσχοπολίτου ἐν Μοσχοπόλει 1736.

γ') Ἀκουλουθία τοῦ Νεομάρτυρος Νικολάου τοῦ ἐξ Ἀνατολῆς ἐν Βουνένοις ἀσκήσαντος, διορθωθεῖσα ὑπὸ Ἰωσὴφ Ἀρχιμανδρίτου τῆς Μ. Ἐκκλησίας τοῦ ἐν Φουρνᾷ Ἀγράφων. Ἐνετίησιν 1791. Ἀξιώσει τοῦ λογιωτάτου Κωνσταντίνου υἱοῦ Ἀλεξίου ἐκ Κλειτσοῦ Ἀγράφων, ἔνθα ὑπάρχει πάνσεπτος Ναός του.

δ) Ἑτέρα ὁμοία ἔκδοσις διορθωθεῖσα ὑπὸ Ἀκακίου Διακρούση καὶ εἶτα παρ' Ἰωσὴφ Ἀρχιμ. Μ. Ἐκκλησίας Ἀθῆναι 1845.

1. Πρβλ. ἡμετέραν μελέτην ἡ Ἱερὰ Μητρόπολις Φαναριοφερσάλων Ἀθῆναι. 1929 σελ. 23.
2. Πρβλ. L. Petit. Bibliogr. ἔνθ. ἀνωτ.
3. Πρβλ. τὴν ἐμὴν ἔκδοσιν μετὰ προλεγομένων «Ἀκολουθία Νικολάου τοῦ ἐν Βουνένοις κτλ.» Ἀθ. 1920.



ε) Ἑτέρα ὁμοία ἔκδοσις ἐν Πάτραις 1865.
ς') Ἑτέρα ἔκδοσις Ἀθῆναι 1873.
ζ') Ἑτέρα ἐν Πάτραις 1875.
η') Ἑτέρα ἐν Πάτραις 1905.
θ') Ἑτέρα ἐν Τριπόλει 1906.
ι') ἑτέρα ἐν Κορίνθῳ 1908 [1].

3) Νικόλαος ὁ Ὁσιομάρτυς ὁ ἐκ Βρυούλων, ἑορταζόμενος τῇ 11 Ἰουλίου. Ἡ ἀκολουθία του ἐξεδόθη ἐν Ἀθήναις 1898. Δὲν ἀναφέρεται εἰς τοὺς γνωστοὺς συναξαριστάς.

4) Νικόλαος Νεομάρτυς, ὁ ἐκ Μετσόβου, ἀναγραφόμενος καὶ ὡς ἐξ Ἰωαννίνων, μαρτυρήσας ἐν Τρικκάλοις τῇ 17 Μαΐου 1617, ὅτε καὶ τιμᾶται ἡ μνήμη του. Ἡ Κάρα του εὑρίσκεται ἐν τῇ Μονῇ Βαρλαὰμ Μετεώρου.

Ἡ ἀκολουθία του συνετέθη ὑπὸ Νικολ. Κύρκου, ἀναλώμασι Πολυζώη Λαμπανιτσώτη ἐκδοθεῖσα [2], ἡ δὲ μνήμη του ἀναφέρεται ἀλλαχοῦ τῇ 16η Μαΐου [3]. Γνωσταὶ ἐκδόσεις τῆς ἀκολουθίας του εἶναι αἱ ἑξῆς.

Ἀκολουθία Ἐνετίησιν ΑΨΝΖ ἤτοι 1757.

Ἑτέρα ἔκδοσις Ἐνετίησιν ΑΨΟΑ ἤτοι 1771 [4].

Εἰς τὸν ἀρχαῖον Ναὸν τοῦ Ἁγ. Δημητρίου Τρικκάλων ὑπάρχει τοιχογραφία ἐν τῷ Διακονικῷ τοῦ Ἁγ. Νικολάου τοῦ ἐκ Μετζόβου τοῦ καὶ Ἐξηνταρίχη καλουμένου ὡς καὶ τοῦ Ἁγ. Νικολάου τοῦ ἐκ Καρπενισίου [5]. Καὶ ἐν Τυρνάβῳ δὲ ὑπάρχει Ναὸς τοῦ ἐκ Μετσόβου Ἁγ. Νικολάου ἢ Βλαχονικόλα καλουμένου πανηγυριζόμενος τῇ Κυριακῇ τοῦ Θωμᾶ.

5) Νικόλαος Μεγαλομάρτυς ὁ ἐκ Καρπενησίου ἀθλήσας ἐν Κωνσταντινοπόλει τῇ 23η Σ)βρίου ΑΧΟΒ ἤτοι 1672. Ὁ Εὐγένιος Βούλγαρης ταὐτίζει τὸν ἐκ Καρπενησίου Νικόλαον μὲ τὸν ἐπικαλούμενον

1. Πρβλ. Νικοδήμου Ἁγιορίτου Συναξ. Βενετία 1819 τομ. 1. Κων. Δουκάκη τ. 5 σ. 147 Ἀθ. 1895, Δουκάκη Σελήνη Ἀθῆναι. 1897 σελ. 85.
2. Περὶ Πολυζώη Λαμπανιτσώτη πρβλ. τὴν ἐμὴν διατριβὴν ἐν Περιοδ. «Κρητικὸς Ἀστὴρ» Χανίων 1910 ἀρ. 75, καὶ Δ. Παναγιωτίδου ἐν Ἑλλην. Φιλολ. Συλλόγου Κων)λεως 1898 σελ. 325.
3. Νικοδήμου Ἁγιορίτου ἔνθ' ἀνωτ. Χρυσοστόμου Παπαδοπούλου ἐν Πανελ. Λευκώμ. Χρ. Χατζηϊωάννου Ἀθῆναι. 1922 σελ. 191.
4. Εὐγενίου Βουλγάρεως Ἐπιστολὴ πρὸς Πέτρον Κλαίρκιον Ἀθῆναι. 1844 σελ. 28.
5. Πρβλ. Ν. Ι. Γιαννοπούλου Αἱ παλαιαὶ Ἐκκλησίαι Τρικκάλων. Ἀθ. 1926 σ. 7.

Παντοπώλην [1]. Τὸν βίον τούτου συνέγραψεν ὁ Ἰω. Καριοφύλλης ὡς καὶ τὴν ἀκολουθίαν [2]. Γνωσταὶ ἐκδόσεις εἰσὶν αἱ ἑξῆς.

Ἀκολουθία τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Νικολάου τοῦ νέου τοῦ ἐκ Καρπενησίου Ἐνετίῃσιν 1796. Ἑτέρα ἔκδοσις διὰ δαπάνης Κωνσταντίνου Παπαδημητρίου Ἡγουμένου τῆς Ἱερᾶς Μονῆς Προυσσοῦ Ἀθῆναι 1923.

6) Νικόλαος ὁ Καραμᾶνος ἀθλήσας ἐν Σμύρνῃ τῇ 6 Δεκεμβρίου 1657 [3]. Ἀλλαχοῦ ἡ μνήμητου ἀναφέρεται τῇ 14ῃ Δεκεμβρίου [4].

7) Νικόλαος ὁ ἐν τῇ Φάραγγι Κουρταλιώτη ἀσκήσας ἐν Ἁγίῳ Βασιλείῳ ἐπαρχίας Κρήτης, τὸ 1670 ἔτος τῇ 1ῃ Σεπτεμ. ἑορταζόμενος. Ἡ ἀκολουθία του ἐξεδόθη Ἀθῆναι 1879 δὲν ἀναφέρεται εἰς τοὺς Συναξαριστάς.

8) Νικόλαος ὁ Σεκιλιώτης ὁ ἀσκητεύσας ἐν τῷ Ὄρει Νεοτάκου Εὐβοίας, ἑορταζόμενος τῇ 23 Αὐγ. Ἡ ἀκολουθία του ἐξεδόθη ἐν Χαλκίδι 1894. Δὲν ἀναγράφεται εἰς τοὺς συναξαριστάς.

9) Νικόλαος μεγαλομάρτυς ὁ ἐκ Χίου ἀθλήσας τῇ 30 Ὀκτωβρίου 1754. Ἡ ἀκολουθία του συνετέθη ὑπὸ Νικηφόρου Ἱεροδιακόνου ἐξεδόθη ἐν Χίῳ. Ἡ μνήμη του ἀναφέρεται καὶ τῇ 31 Ὀκτωβρίου [5].

10) Νικόλαος ὁ ἐν Μαγνησίᾳ μαρτυρήσας τῇ 24ῃ Ἀπριλίου 1795 [6].

11) Νικόλαος ὁ ἐξ ἓξ Μαρμάρων μαρτυρήσας ἐν Κων)πόλει τῇ 12ῃ Νοεμβρίου αψλβ ἤτοι 1732 [7].

12) Νικόλαος Πατριάρχης Κων)λεως ὁ Μυστικὸς ἢ Χρυσοβέργης μαθητὴς τοῦ Πατριάρχου Φωτίου, Μαΐου 16 ἑορταζόμενος, ὁ ἀφορί-

1. Πρβλ. Εὐγ. Βουλγάρεως ἔνθ' ἀνωτ. σ. 30.
2. Ὑπῆρξαν δύο Καριοφίλλαι κατ' ἄλλους τρεῖς.
3. Πρβλ. Κων. Σάθα Μεσ. Βιβλ. τ. 3 σελ. 607.—Χρυσοστόμου Παπαδοπούλου ἔνθ' ἀνωτ. σ. 192.—Γερασίμου Λουκάκη Ν. Μαρτυρολόγιον Ἀθ. 1905 σελ. 39.—Κωνστ. Δουκάκη Μεγ. Συναξαριστὴν τ. 14.—Τοῦ ἰδίου Σελήνη ἔνθ' ἀνωτ. Νικοδήμου Ἁγιορίτου τ. Α' ἔνθ. ἀνωτ.
4. Πρβλ. Χριστοφόρου Προδρομίτου ἔνθ' ἀνωτ. Κων. Δουκάκη Ἀκολουθία ᾀσματικὴ τῶν νεοφανῶν μαρτύρων τῶν μετὰ τὴν ἅλωσιν. Ἀθῆναι. 1897 σελ. 33.
5. Πρβλ. Δουκάκη ἔνθ' ἀνωτ. σ. 515 τ. 10ος Χριστοφόρου Προδρομίτου ἔνθ' ἀνωτ. καί Χρυσοστόμου Παπαδοπούλου ἔνθ' ἀνωτ. σελ. 194, Νικοδήμου ἔνθ' ἀνωτ. τ. 1 σελ. 216.
6. Πρβλ. Δουκάκη ἔνθ' ἀνωτ. τ. 4 σ. 402, Χρυσοστόμου Παπαδοπούλου ἔνθ' ἀνωτ. σελ. 196.
7. Πρβλ. Εὐγ. Βουλγάρεως ἔνθ' ἀνωτ. σ. 31 Χριστοφόρου Προδρομίτου ἔνθ' ἀνωτ.' Δουκάκη Σελήνη ἔνθ' ἀνωτ. Νικοδήμου ἔνθ' ἀνωτ. τ 1ος.



σας τὸν Βασιλέα Λέοντα τὸν Σοφὸν διὰ τὴν τετραγαμίαν μετὰ τῆς Ζωῆς [1].

13) Νικόλαος Πατριάρχης Κων)πόλεως ὁ Γραμματικὸς [2] Δεκεμβρίου 16 ἑορταζόμενος.

14) Νικόλαος ὁ Παντοπώλης νεομάρτυς ἀθλήσας τῇ 23 Σεπτεμ. τὸν ὁποῖον ὁ Εὐγ. Βούλγαρης καὶ ἄλλοι ταὐτίζουσι μὲ τὸν ἐκ Καρπενησίου [3] ἀναφέρεται ἡ μνήμη του καὶ τῇ 28 Σεπτεμβρίου [4].

15) Νικόλαος ὁ ὁμολογητὴς ὁ Στουδίτης ἑορταζόμενος τῇ 4 Φεβρουαρίου [5] ἐπὶ Λέοντος τοῦ Ἰσαύρου ἀσκήσας καὶ πολλὰ παθὼν ἐπὶ Εἰκονομαχίας.

16) Νικόλαος Ἀρχιεπίσκοπος Θεσσαλονίκης ἑορταζόμενος τῇ 29 Νοεμβρίου [6].

17) Νικόλαος Μάρτυς ἑορταζόμενος Δεκεμβρίου 7 [7].

18) Νικόλαος ὁ ἀπὸ στρατιωτῶν ἑορταζόμενος τῇ 14 Δεκεμβρίου [8] ἐν ἔτει 802 ἐπὶ Νικηφόρου Βασιλέως ἀσκήσας, ἡ μνήμη του φέρεται καὶ τῇ 24ῃ Δεκεμβρίου ἀλλαχοῦ [9].

19) Νικόλαος Νεομάρτυς ἐκ Μαγνησίας ἑορταζόμενος τῇ 14ῃ Ἀπριλίου [10].

20) Νικόλαος εἷς τῶν τεσσαράκοντα μαρτύρων ἑορταζόμενος τῇ 9 Μαρτίου [11].

21) Νικόλαος ὁ ἁπλοῦς δοὺξ ἐκ Τσερνεζοβίας ὁ ἐν Σπηλαίῳ Ῥώσσος ἑορταζόμενος τῇ 14ῃ Ὀκτωβρίου [12].

1. Πρβλ. Δουκάκη τ. 5 ἔνθ. ἀνωτ. σ. 309, Νικοδήμου ἔνθ' ἀνωτ. καὶ Ἑβδ. Ἐπιθ. Νεολόγου Κων)πόλεως 1893 τ. Γ' σ. 865.
2. Πρβλ. Δουκάκη Σελήνη ἔνθ' ἀνωτ. καὶ τόμ. 12 σελ. 398. Νικοδήμου ἔνθ' ἀνωτ.
3. Νικοδήμου ἔνθ' ἀνωτ. Κ. Δουκάκη Ἀκολουθία ᾀσματ. ἔνθ' ἀνωτ. σελ. 35.
4. Δουκάκη Σελήνη ἔνθ' ἀνωτ.
5. πρβλ. Χριστοφόρου Προδρομίτου ἔνθ. ἀνωτ. Δουκάκη Σελήνη ἔνθ. ἀνωτ. Νικοδήμου Ἁγιορίτου ἔνθ. ἀνωτ.
6. Νικοδήμου Ἁγιορίτου ἔνθ. ἀνωτ. Δουκάκη Σελήνη ἔνθ. ἀνωτ.
7. Δουκάκη Σελήνη ἔνθ. ἀνωτ. Νικοδήμου ἔνθ. ἀνωτ.
8. Νικοδήμου ἔνθ. ἀνωτ.
9. Δουκάκη Σελήνη ἔνθ. ἀνωτ.
10. Δουκάκη Σελήνη ἔνθ. ἀνωτ. Νικοδήμου ἔνθ. ἀνωτ.
11. Δουκάκη ἔνθ. ἀνωτ. Νικοδήμου ἔνθ. ἀνωτ.
12. Δουκάκη τόμ. 10ος σελ. 187.

ΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑ

22) Νικόλαος νεομάρτυς ἐκ Κρήτης ἀσκήσας τὸ 1824 Ὀκτωβρίου 24 ἀπαντᾶται ἀλλαχοῦ ἡ μνήμη του καὶ 31 Ὀκτωβρίου [1].

23) Ὁ ὅσιος Γεδεὼν ὁ κατὰ κόσμον Νικόλαος τῇ 30 Δεκεμ. 1818 ἐν Τυρνάβῳ μαρτυρήσας [2].

24) Νικόλαος Ἀγγελῆς Μανουὴλ Γεώργιος μαρτυρήσαντες ἐν Ρεθίμνῃ τῇ 28 Ὀκτωβρ. 1821 [3].

Τόσοι εἶναι οἱ Νικόλαοι Ὅσιοι καὶ μάρτυρες, οὕς τὰ ἁγιολογικὰ μνημεῖα τῆς Ἐκκλησίας ἀναφέρουσιν καθ' ὅλον τὸν ἐνιαυτόν. Αἱ ἑορταὶ αὐτῶν ἀπαντῶνται μηνιαίως, ἤτοι τῇ 4ῃ Φεβρουαρίου, τῇ 9 Μαρτίου, τῇ 14 καὶ 24ῃ Ἀπριλίου, τῇ 9-10 τῇ 16 δύο Νικολάων τῇ 17-20 Μαΐου, τῇ 11 Ἰουλίου, τῇ 23ῃ Αὐγούστου, τῇ 1 καὶ τῇ 23 δύο Νικολάων Σεπτεμβρίου, τῇ 14-24-28-30 Ὀκτωβρίου, τῇ 12 καὶ 29 Νοεμβρίου, τῇ 6 δύο Νικολάων τῇ 7-9-18-14-16-20-30 Δεκεμβρίου. Ἐναλάσσονται δὲ αἱ ἑορταί τινων κατὰ τόπους ἤτοι τῇ 16 ἀντὶ τῆς 17ης Μαΐου, τῇ 28 ἀντὶ τῆς 23 Σεπτεμβρίου, τῇ 31 ἀντὶ τῆς 30 Ὀκτωβρίου, καὶ τῇ 31 αὖθις ἀντὶ 24 Ὀκτωβρίου, τῇ 14 ἀντὶ 6 καὶ αὖθις 14 ἀντὶ 24 Δεκεμβρίου [4].

Ὥστε ἔχομεν ἑορτὰς ἁγίων Νικολάων μὲ τὰς κατὰ τόπους ἐναλλαγὰς αὐτῶν, ἅπαξ τὸν Φεβρουάριον, ἅπαξ τὸν Μάρτιον, δὶς τὸν Ἀπρίλιον, ἑπτάκις τὸν Μάϊον, ἅπαξ τὸν Ἰούλιον, ἅπαξ τὸν Αὔγουστον τετράκις τὸν Σεπτέμβριον, ἑξάκις τὸν Ὀκτώβριον, δὶς τὸν Νοέμβριον καὶ ἑνδεκάκις τὸν Δεκέμβριον [1].

1. Δουκάκη ἔνθ. ἀνωτ. τομ. 10ος σ. 467 καὶ Σελήνη ἔνθ. ἀνωτ.

2. Πρβλ. Προμηθεὺς Βόλου 1892 σελ. 360.

3. Μ. Γεδεὼν Λαθρόβιος Ὀρθοδοξία Μεσ. Γράμματα Ἀθ. 1930 σ. 83 Δουκάκη τόμ. Ὀκτωβρίου σ. 464.

4. Οἱ πλείονες συνώνυμοι Ἅγιοι καθ' ὅλον τὸν ἐνιαυτὸν εἰσιν οἱ φέροντες τὸ ὄνομα Ἰωάννης 78 φορὰς ἑορταζόμενοι.

Ἤτοι τὸν Ἰανουάριον 6 φοράς, τῇ 15, 22, 26, 27, 30, 31,
τὸν Φεβρουάριον 7, τῇ 4, δὶς τῇ 6, 15, 21. 23, 26.
τὸν Μάρτιον 7, τῇ 5, 9, 16, 27, τρὶς τῇ 30.
τὸν Ἀπρίλιον 7, τῇ 5, 12, τρὶς τῇ 18, 20, 27.
τὸν Μάϊον 10, τῇ 7, 8, 12, 13, 14, 20, 22, 24, 29, 30.
τὸν Ἰούνιον 7, τῇ 2, 4, 7, δὶς τῇ 12, 26, 28.
τὸν Ἰούλιον 4, τῇ 10, 18, 20, 21.
τὸν Αὔγουστον 5, τῇ 3, 9, 18, 25, 30.
τὸν Σεπτέμβριον 6, τῇ 2, 15, 20, δὶς τῇ 23, 26.
τὸν Ὀκτώβριον 4, τῇ 1, 3, 19, 20.
τὸν Νοέμβριον 10, τῇ 1, 4, 9, 10 12, 17, 20, 23, 28, 29.
τὸν Δεκέμβριον 5, τῇ 2, 3, δὶς τῇ 4, 20.

Οἱ Δημήτριοι δεκάκις τοῦ Ἐνιαυτοῦ.



## III

Εἰς ὅλον ὅμως τοῦτο τὸ νέφος τῶν Ἁγίων Νικολάων οὐδαμοῦ ἀπαντᾶται ὁ νεοφανὴς μεγαλομάρτυς Νικόλαος ὁ ἐκ τοῦ χωρίου Ψάρη τῆς Κορινθίας ὁρμώμενος καὶ ἐν Κωνσταντινοπόλει ἀθλήσας, ἑορταζόμενος τῇ 14 Φεβρουαρίου, οὗ τὸ ἐγκώμιον καὶ τὴν ᾀσματολογίαν συνέθεσε δεινὸς Θεολόγος Δαμασκηνὸς ὁ Στουδίτης, ἐξ Ἰχθύος προσαγορεύων αὐτόν.

Οὗτος ὁ ἅγιος, ὡς ἔφθημεν εἰπόντες, πατρίδα εἶχε τὸ χωρίον Ψάρη παρὰ τῷ ὄρει Ζάρηκι «περίπου τῶν τῆς Κορινθίας ὁρίων κείμενον», μείνας δὲ δωδεκαέτης ὀρφανὸς γονέων, ἀνεχώρησε «μετά τινων συμφυλετῶν εἰς πόλιν λεγομένην Σηλιβρίαν, ἀπέχουσαν ἡμέρας ὁδὸν τῆς τοῦ Κωσταντίνου πόλεως» ἐν ᾗ «συνέστιος τινι ἐγένετο καὶ κηδεμὼν τῶν οἴκαδε», κατόπιν δὲ «εἰς μέτρον ἡλικίας πεφθακὼς νομίμῳ γυναικὶ συνεζεύχθη καὶ παίδων πατὴρ ἐγένετο». Ἐπάγγελμα δὲ εἶχε «ἐν τῇ λεωφόρῳ πιπράσκων βρώσιμα». Ἐν τῷ τριακοστῷ τετάρτῳ δὲ ἔτει τῆς βασιλείας Σουλεϊμὰν τετάρτου τῆς Πόλεων βασιλίδος Βασιλέως, ἀπήχθη πρὸ τοῦ Ἐπάρχου Σινὰν ὀνόματι ὡς τὸν Μωάμεθ ὑβρίσας, φθονηθεὶς διότι «ἦν ἐν τῇ λεωφόρῳ πλεονάκις πιπράσκων τὰ ὤνια, καὶ γὰρ ἔθος τοῖς ἐν λεωφόρῳ ἀλλήλοις φθονεῖν». Ἐκεῖ δὲ «χριστιανὸν ἑαυτὸν ὁμολογήσας, τὴν τῶν ἰσμαηλιτῶν θρησκείαν ὡς ψευδῆ ἀπήλεγξε, διὸ πλεονάκις ῥοΐνοις ῥάβδεσι τυφθεὶς ὡς καὶ τὰ ἄκρα τῶν ποδιαίων ὀνύχων εἰς φυλακὴν ἀπερρίφθη Χριστὸν ἐπιβοώμενος εἶτα δὲ ὑπὸ δημίων ἑλκόμενος περιήγετο ἁλύσεις περικείμενος τὴν πόλιν, καὶ ἐν τῷ ἱπποδρομίῳ πυρᾶς ἀναφθείσης κατὰ μικρὸν τὸν ἅγιον ἐνέβαλλον οὕτω δαπανῶντες τὰς σάρκας, ὁ δὲ σπεκουλάτωρ ξίφει εἶτα τὴν κεφαλὴν ἀπέτεμε». Ἡ δὲ τοῦ ἁγίου κάρα περισωθεῖσα ἐπωλήθη ἀντὶ χιλίων **χρυσίνων** εἰς τὴν Μονὴν τοῦ Ἁγίου Ἀθανασίου τοῦ Μετεώρου.

Τὸ συναξάριον τοῦτο τοῦ Ἁγίου, νεοφανοῦς Μάρτυρος προσονομαζομένου, ὡς καὶ ὁ ἐγκωμιαστικὸς πρὸς αὐτὸν Λόγος τοῦ Δαμασκηνοῦ εἰς τὰ ἐν τῷ ὑπ' ὄψιν Κώδικι τῆς Ἱερᾶς Μονῆς τοῦ Σιάμου, δὲν

1. Ὁ Ζωσιμᾶς Ἐσφιγμενίτης δημοσιεύων κατάλογον τῶν ἀπὸ τῆς ἁλώσεως μέχρι τοῦ 1868 μαρτυρησάντων ἀναφέρει 6 Νικολάους. Πρβλ. Προμηθεὺς 1900 ἀρ. 140.

ἀναγράφουσι· χρονολογίαν τῆς ἀθλήσεως εἰμή, μόνον ὅτι αὕτη ἐγένετο τῷ 34ῳ ἔτει τοῦ Βασιλέως τῶν Ἰσμαηλιτῶν Σελουΐμάν.

Εἰς τὸ τέλος ἐν τούτοις τοῦ ἐγκωμίου, ὅπερ ἕπεται τῆς Ἀσματολογίας, ἀναγράφεται ὑπὸ τῆς ἰδίας χειρός, ἀφοῦ μία σέλις μένει ἄγραφος, τὰ ἑξῆς.

Ἀκολουθίαι εἰς τὸν Νεομάρτυρα
Νικόλαον ὃν μαρτυρήσαντα ἐν Κωνσταντινουπόλει πυρὶ
ἐπὶ ἔτους ἀπὸ μὲν κτίσεως κόσμου ΖΞΒ ἀπὸ δὲ
τῆς τοῦ Χριστοῦ ἐνσάρκου οἰκονομίας αφνδ (ἤτοι 7062=1554)
Ἰνδικτιῶνος ΙΒ΄ ἐν μηνὶ Φεβρουαρίου ΙΔ΄
ἡμέρα πέμπτη ὥρᾳ ϛ΄ τοῦ μὲν Ἡλίου κύκλον ἔχοντος ϛ΄ τῆς δὲ
σελήνης κύκλον μὲν ἐχούσης ΙΓ΄ θεμέλ. δὲ κϛ΄
τοῦ Χριστιανῶν Πάσχα τότε ὄντος ἐν μηνὶ Μαρτίῳ ΚΕ΄.

Εἰς τὴν ἑπομένην σελίδα διὰ τῆς αὐτῆς χειρὸς ἀναγράφεται.

Ἔστι δὲ σύμπασα ἡ ἀκολουθία σὺν τοῖς τρισὶ κανόσι ποίημα
Δαμασκηνοῦ Ἱερομονάχου τοῦ Θεσσαλονικέως, ὅστις πολλὰ παρακληθεὶς ὑπὸ τοῦ ὁσιωτάτου καθηγουμένου τῆς σεβασμίας Μονῆς τοῦ Μετεώρου Παπᾶ Κὺρ Σισινίου τοῦ ἐν Ἱερομοναχοπνευματικοπατράσιν αἰδεσίμου συνεγράψατο ταύτην,
ἐν ἔτει ΖΞϚ΄—(ἤτοι 7066=1558)

Ἤτοι ἡ ᾀσματολογία καὶ τὸ ἐγκώμιον συνεγράφη τέσσαρα ἔτη μετὰ τὴν ἄθλησιν παρακλήσει τοῦ Ἡγουμένου τῆς Ἱερᾶς Μονῆς Ἁγίου Ἀθανασίου τοῦ Μετεώρου Σισινίου, ἔνθα ἀπέκειτο καὶ ἡ κάρα τοῦ μάρτυρος. Τοῦτο ἀναμφιβόλως εἶναι ἔνδειξις τῆς καλῆς ἔξωθεν μαρτυρίας ὅτι ὁ Νικόλαος ἐβάστασε καλῶς τὸ βάρος καὶ τὸν καύσωνα τῆς μαρτυρικῆς ἡμέρας, τὸν Χριστὸν ὁμολογῶν, ἐξ οὗ καὶ τὰ αἵματα αὐτοῦ κατεκόσμησαν τὴν Ἐκκλησίαν. Πῶς ὅμως ἡ καλὴ αὕτη μαρτυρία δὲν διεφημίσθη περαιτέρω, ἔτι μᾶλλον ἀφοῦ τόσον ἀξίου ἔτυχεν ἐγκωμιαστοῦ ὑπερέχοντος ἐν τοῖς χρόνοις ἐκείνοις μεταξὺ Θεολόγων καὶ Ἱεραρχῶν.

Τοῦτο ὅμως δὲν εἶναι παράδοξον. Ὁ Νικόλαος ἐμαρτύρησε κατηγορηθεὶς ὡς ὑβριστὴς καὶ ἐμπαίκτης τοῦ Μωάμεθ καὶ τῆς θρησκείας τῶν Ἰσμαηλιτῶν «νῦν τοῦτον τὸν ἀλιτήριον κεκομήκαμεν ὡς ὑβρίσαντα ***πλεῖον πάντων*** τὸν νομοθέτην Μωάμεθ καὶ τὴν πίστιν ἡμῶν», ὁ δὲ Νικόλαος εὐθαρσῶς ἀπελογεῖτο πρὸ τοῦ Ἐπάρχου «ὁ μὲν Χριστὸς ἅτε δικαιοσύνης Ἥλιος φῶς καὶ φωτίζει, ὁ δὲ τῆς ὑμῶν ἀπωλείας Μωάμεθ σκότος ὢν ἀφεγγὲς πέφυκεν κρημνοῦ καὶ βαράθρου αἴ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ



τιος». Ἑπομένως καθ' ἣν ἐποχὴν ὁ Δυνάστης τοῦ Γένους ἀπηγχόνιζε Πατριάρχας, λίαν ἦτο παράτολμον ἡ μνήμη ἑνὸς ὑβριστοῦ τοῦ Μωάμεθ νὰ διαφημισθῇ ὡς ἁγία ἀνὰ τὸ Τουρκοκρατούμενον Ἔθνος. Ἔμεινε λοιπὸν λανθάνουσα ἐν Μετεώρῳ, ἔνθα ἐναπέκειτο ἡ κάρα τοῦ μάρτυρος, καὶ ἐν ταῖς πέριξ Μοναῖς ἡ μνήμη ὡς Ἁγίου τοῦ μάρτυρος Νικολάου καὶ ἡ συντεθεῖσα ἀκολουθία αὐτοῦ ὡς ἐν ἀποκρύφοις, οὐχὶ ἄνευ τόλμης ἐγκωμιάζουσα τὸ μαρτύριον τοῦ τοιούτου ὑβριστοῦ, ἐξ οὗ μηδὲ ἐτολμήθη ἵνα τὸ χειρόγραφον διαπλεύσῃ τὸν Ἀδρία καὶ Ἐνετίησιν τυπωθῇ ὡς ἐσυνηθείζετο.

Ἀλλὰ καὶ ἐν τῇ πατρίδι του ἐν Ψάρῃ ἢ Ἰχθύϊ κατὰ τὸν ἐγκωμιαστὴν τῆς Κορινθίας, εἶναι τελείως ἄγνωστος, ὡς δι' ἐπιστολῆς του ἐπληροφόρησεν ἡμᾶς ὁ ἐκ Ψάρῃ καταγόμενος καθηγητὴς τῶν Ἱερῶν κ. Φ. Σταματόπουλος. Τοῦτο ὅμως δὲν εἶναι καὶ παράδοξον ἀφοῦ ὁ ἅγιος «δωδεκάτῳ ἔτει τῆς αὐτοῦ ἡλικίας τοὺς γονεῖς ἀποβαλών, μόνος ἀπελήφθη καὶ ὡς ἄλλος Ἀβραὰμ τῆς οἰκίας γῆς καὶ συγγενείας ἀπῆλθεν μετανάστης εἰς Σηλιβρίαν», οὐδέποτε δὲ φαίνεται ἐπανῆλθεν πλέον εἰς τὴν γεννέτειραν.

Συνεπῶς ὁ νεομάρτυς Νικόλαος ὁ τῇ 14 Φεβρ. ἑορταζόμενος κατὰ τὸν χειρόγραφον Κώδικα τῆς ποτὲ Ἱερᾶς Μονῆς Σιάμου, εἶναι ἄγνωστος ἐν τῇ Ἐκκλησίᾳ ἀφοῦ μεταξὺ εἴκοσι καὶ τεσσάρων ἀναφερομένων ἐτησίως ἁγίων Νικολάων οὐδαμοῦ ἀναγράφεται. Ἠδύνατο ὅμως νὰ ὑπῆρχεν ἀμφιβολία ἀμυδρά πως περὶ τούτου, ἥτις καὶ ἐγεννήθη ἡμῖν ἐν τῇ μελέτῃ τοῦ βίου τοῦ ἁγίου καὶ ἐν τῇ ἀναγραφῇ τῶν ἄλλων ἁγίων Νικολάων.

Ἐν τῇ σειρᾷ τῶν ἁγίων Νικολάων τοῦ ὅλου ἐνιαυτοῦ ὡς προανεφέρομεν ὑπάρχει ἅγιος Νικόλαος ὁ παντοπώλης προσεπιλεγόμενος, ἀθλήσας τῇ 23 Σεπτεμβρίου, οὗ ἡ μνήμη ἀναφέρεται ἐν ἄλλοις τῇ 28 Σεπτεμβρίου [1], τοῦτον δὲ τὰ ἁγιολογικὰ μνημεῖα ἀναφέρουσι μὲ τὸν γνωστὸν τύπον «τῇ αὐτῇ ἡμέρᾳ», ἀγνοοῦμεν λοιπὸν τούτου τὴν βιογραφίαν. Τὸν Νικόλαον τοῦτον τὸν παντοπώλην Εὐγένιος ὁ Βούλγαρης καὶ ὁ Κωνστάντιος Δουκάκης ταυτίζουσι μὲ τὸν ἐκ Καρπενησίου νεομάρτυρα Νικόλαον, ἀθλήσαντα ἐν Κων)πόλει τῇ 23 Σεπτεμβρίου καὶ τοῦτον τοῦ 1672 ἔτους [2]. Τούτου τὴν ἀκολουθίαν συνέγρα-

1. Πρβλ. Κ. Χ Δουκάκη Μοναχοῦ Μέγας Συναξαριστὴς τόμ. 13ος Σελήνη, καὶ Νικοδήμου Ἁγιορείτου Συναξ. τ. β΄

2. Πρβλ. Εὐγ. Βουλγάρεως, Ἐπιστολὴ πρὸς Πέτρον Κλαίρκιον Ἀθῆναι. 1844 σ. 28. - Κων. Δουκάκη Μέγ. Συναξαριστὴς Τοπάζιον τ. 9ος Σεπτεμβρίου 23.

ψεν ὁ Ἰωάννης Καρυοφίλης, ἐξεδόθη δὲ δὶς ἐν Βενετίᾳ τὸ 1796 ἔτος καὶ ἐν Ἀθήναις τὸ 1923 [1]. Συνεπῶς γνωρίζομεν τούτου τὴν βιογραφίαν, ἄσχετον οὖσαν μὲ τὸν ἐξ Ἰχθῦος. Ἀλλ' ὁ ἡμέτερος ἐξ Ἰχθῦος Νικόλαος κατὰ τὸν βιογράφον του «ἦν πιπράσκων ὤνια καὶ βρώσιμα ἐν τῇ λεωφόρῳ» ἦτο δηλ. ἐν τῇ ἀγορᾷ (παζάρη) πωλητὴς τροφίμων (ὤνια=ψώνια) παντοπώλης ὡς σήμερον λέγεται τὸ ἐπάγγελμα, ἐμφανίζει ἄρα ὁμοιότητα μὲ τὸν νεομάρτυρα Νικόλαον τὸν παντοπώλην ὡς πρὸς τὸ ἐπάγγελμα, τὸν κατὰ τὴν 23 ἢ 28 Σεπτεμβρίου ἑορταζόμενον, οὗ ὅμως τὴν βιογραφίαν ἀγνοοῦμεν. Ἐν τούτῳ ἔγκειται ἡ ἀμφιβολία ἡμῶν, μὴ τυχὸν μεταξὺ τῶν δύο παντοπωλῶν Νικολάων ὑπάρχει ταὐτοπροσωπία, ἣν ὁ χρόνος ἐσύγχισεν. Οὐδὲν ὅμως περὶ τούτου ἀληθεύει, καὶ οὐδεμία ἄλλη σχέσις ὑπάρχει πλὴν τοῦ ἐπαγγέλματος, ἐφ' ὅσον ὁ μὲν ἤθλησεν τὸ 1554 ὁ δὲ τὸ 1672 ἔτος, ἐὰν πρόκειται περὶ τοῦ αὐτοῦ ὡς ἄνω προσώπου, ἀλλὰ μηδὲ ἡ μνήμη αὐτῶν συμπίπτει.

Ἡ δημοσιευομένη ὧδε ἀκολουθία εἶναι μακρὰ ὡς ἀποτελουμένη ἐκ τοῦ Μικροῦ καὶ Μεγάλου Ἑσπερινοῦ καὶ ἐκ τριῶν Κανόνων, ἑνὸς τῆς Θεοτόκου καὶ δύο τοῦ Ἁγίου, ἐκ χωριστῆς δὲ ἀκολουθίας εἰς τὴν προσκήνυσιν τῆς Ἁγίας Κάρας τοῦ νεομάρτυρος. Ἐκ τῆς ἀκολουθίας ὅμως τοῦ Ἑσπερινοῦ ἐκπεσόντος ἑνὸς φύλλου τοῦ Κώδικος, ἐλλείπει ἡ ἀρχή, ἐκ τοῦ μέσου τοῦ τετάρτου Στιχηροῦ ἀρχομένης, τοῦτο ὅμως δύναται νὰ ἀναπληρωθῇ διὰ τῶν 4 προσομοίων τοῦ Μικροῦ Ἑσπερινοῦ,

Μακρὸς εἶναι πλούσιος εἰς ἐπαίνους καὶ ὁ Ἐγκωμιαστικὸς Λόγος, καὶ εἰς ἄκραν ἀρχαΐζουσαν γλῶσσαν. Παραβάλλει ὁ ἐγκωμιαστὴς τὴν ἄθλησιν τοῦ Ἁγίου ὡς Ὀλυμπιάδα, ἑαυτὸν δὲ ταπεινοφρονῶν ὡς ἀνίκανον νὰ βαδίσῃ πέραν τῶν Γαδείρων πεζῇ ἢ πλωτῶς (α) καὶ τὸ ἐγχείρημα ὅμοιον μὲ τοὺς ἄθλους τῶν ἐν Ἤλιδι καὶ Πίσσῃ (β) ἀγωνιζομένων, ἐξ οὗ μᾶλλον αἰσχύνην ἢ ἔπαινον ἐκ τοῦ ἐγχειρήματος θὰ ἀποκτήσῃ. Διότι ἐνῷ τοὺς εἰς τοὺς Ὀλυμπιακοὺς ἀγῶνας ἀναδυομένους, ἀλειπταὶ ἐπαλείφουσιν, αὐτὸς ἅπτεται τοῦ ἀγῶνος τοῦ Ἐγκωμίου, χωρὶς νὰ λιπάνῃ τὴν κεφαλὴν ***ἐλαίῳ*** ἁμαρτωλοῦ.

Κατόπιν ἄρχεται βιογραφῶν τὸν Ἅγιον, ὀλίγον ἀσχολούμενος εἰς

1. Καὶ ἡ Ἀκολουθία ἡ ὑπὸ Κων. Παπαδημητρίου ἐκδοθεῖσα Ἀθῆναι. 1923 σ. 13 τῇ αὐτῇ ἡμέρᾳ ἀναφέρει δύο Νικολάους.

(α) Σ.Ε. Τὰ Γάδειρα ἐθεωροῦντο τὸ ἄκρον τῆς Γῆς. Στραβ. II,

(β) Σ. Ε. Πίσσα πόλις τῆς Ἤλιδος, (Σουΐδα).



τὰ ***χαμαίζηλα*** περὶ πατρίδος καὶ γένους, συνήθως δὲ αἱ πόλεις ἐπαινοῦνται διὰ τρία πράγματα «ἀέρα, γῆν καὶ ὕδωρ», ἀλλ' ἡ πατρὶς τοῦ Ἁγίου ἐπαινεῖται διότι ἐκεῖνον ἐξέθρεψεν, ἐνῷ οἱ Ἀθηναῖοι διὰ τὸν Κέκροπα, οἱ Λακεδαιμόνιοι διὰ τὸν Λυκοῦργον καὶ οἱ Αἰγύπτιοι διὰ τὸ Θὼθ (α) ἐμεγαλύνοντο. Ἱστορεῖ κατόπιν πῶς ὁ μάρτυς συκοφαντηθεὶς ὡς ὑβριστὴς τοῦ Μωάμεθ ὡδηγήθη ἐνώπιον τοῦ Ἐπάρχου Σινάν, τὰς ἀπειλὰς τοῦ Ἐπάρχου, ἵνα ἀρνηθῇ τὸν Χριστόν, καὶ τὴν λαμπρὰν τοῦ μάρτυρος ἀπολογίαν ὑπὲρ τῆς πίστεώς του «οὐ γὰρ οὐκ ἔστι τὸν μὲν ἥλιον φᾶναι σκοτεινόν, τὴν δὲ νύκτα φωτεινήν», ἐξ ἧς καὶ «ῥοΐνοις ῥάβδοις ἐτύπτετο καὶ τὰ ἄκρα τῶν ποδιαίων ὀνύχων αἷμα ἀφίην, πέδαις κατ' ἄμφω χερσὶ καὶ ποσὶ πεδηθεὶς» κατόπιν δὲ «πυρᾶς σφοδρᾶς ἐν τῷ ἱπποδρομίῳ ἀναφθείσης, κελεύει ὁ Ἔπαρχος πλησίον ἕλξαι τὸν ἅγιον, κἀτεῦθεν κατὰ μικρὸν δαπανᾶν τὰς σάρκας τῇ φλογί, μέχρις ὅτου ἐπιδεξιοῖς προσκλίναντος, ὁ σπεκουλάτωρ ξίφει τὴν ἁγίαν αὐτοῦ κεφαλὴν ἀπέτεμε τεσσαρεσκαιδεκάτην μηνὸς Ἐλαφηβολιῶνος» (β). Πρὸς ἔτι μείζονα δὲ χλευασμὸν τοῦ μάρτυρος ἐν τῇ πυρᾷ ἔρριψαν καὶ θνησιμαίους κύνας, καὶ μόνον ἐκ τῆς σποδοῦ ἡ τιμία κάρα τοῦ ἁγίου διεσώθη ὠνηθεῖσα πρός τινα τῶν πιστῶν, ἀντὶ εἴκοσι χρυσίνων (γ) καὶ ἀποστολεῖσα εἰς τὴν τοῦ Ἁγίου Ἀθανασίου Μονὴν τοῦ Μετεώρου. Κατόπιν παραβάλλεται ὁ νεομάρτυς μὲ τοὺς μεγαλομάρτυρας Γεώργιον, Δημήτριον, Μερκούριον, Ἀρτέμιον, Νέστορα, Προκόπιον, Θεόδωρον, οὓς «τοὺς μὲν ἐζήλωσε τοὺς δὲ ἡμιλλήθη τῶν δὲ οὐκ ἀπελείφθη ἔστι δὲ καὶ οὓς ὑπερέβαλε». Ἕνεκεν δὲ τούτων «τὰ γέρα τῆς ἀθλήσεως Ὀλυμπιακοῦ κοτίνου καὶ πυθικῶν μήλων (δ) τιμιώτερα νεμαίας τε σελήνων (ε) καὶ ἰσθμικῆς πίτυος (στ΄) ἐνδοξότερα». Ἐπικαλεῖται δὲ εἶτα ὁ Ἐγκωμιαστὴς τὴν χάριν τοῦ Ἁγίου ὡς «ἀμαθίᾳ λόγων κατεχόμενος καὶ παθῶν ἰλύϊ καλυνδούμενος». Συνετέθη

(α) Σ. Ε Θεὸς τῶν Αἰγυπτίων ὡς ὁ Ἑρμῆς, ἐφευρέτης τοῦ Ἀλφαβήτου Κλήμ. Ἀλέξ.

(β) Σ. Ε. Ὁ ἔνατος μὴν τοῦ Ἀττικοῦ ἔτους, μεταξὺ Φεβρ. καὶ Μαρτίου Θουκ. 4. 18.

(γ) Σ. Ε. νόμισμα χρυσοῦν Πλουτ. Περ. 25.

(δ) Σ. Ε. Ὁ Ἀπόλλων συνάψας μάχην μὲ τὸν ἐν τῷ Πύθωνι δράκοντα καὶ φονεύσας αὐτὸν μετεχειρίσθη ἀκόντια καὶ βέλη μὲ σχήματα μήλων.

(ε) Σ. Ε. Τὸ φυτὸν Σέλινον δι' οὗ ἐστέφοντο οἱ νικηταὶ τῶν Νεμέων ἀγώνων. Πίνδ. Ο. 13. 32.

(στ΄) Σ. Ε. Ἐκ τοῦ ἐν τῷ Ἰσθμῷ τῆς Κορίνθου ληστοῦ Σίνιδος, ὅστις ἔδενε τοὺς διαβάτας, ἐξ οὗ καὶ Πιτυοκάμπτης. Πλουτ. Ἀπολλόδ. 4.

δὲ ἡ ἀκολουθία καὶ τὸ Ἐγκώμιον τοῦ νεομάρτυρος ὑπὸ τοῦ Θεσσαλονικέως Ἱερομ. Δαμασκηνοῦ τοῦ Στουδίτου, κατὰ παράκλησιν τοῦ Ἱερομ. Σισινίου Ἡγουμένου τοῦ Μετεώρου ἔνθα ἐναπετέθη ἡ κάρα τοῦ Ἁγίου ἐν ἔτει 1558. Ὡς ὅμως ὁ Σεβ. Τρίκκης καὶ Σταγῶν κ. Πολύκαρπος ἐβεμαίωσεν ἡμᾶς, τοιαύτη κάρα σήμερον δὲν ὑπάρχει, εἰμὴ ἡ κάρα τοῦ νεομάρτυρος Νικολάου τοῦ ἐκ Χίου ὡς καὶ ὁ Ἡγούμενος κ. Χαράλαμπος Σκαρπαλέζος δι' ἐπιστολῆς μᾶς ἐγνώρισεν. (α)

Περὶ τοῦ συγγραφέως τῆς τε Ἀκολουθίας καὶ τοῦ Ἐγκωμίου Δαμασκηνοῦ Ἱερομονάχου Στουδίτου τοῦ Θεσσαλονικέως, ὑπάρχουσιν ἐνδοιασμοὶ ἂν οὗτος εἶναι ὁ Ἱεράρχης Λιτῆς καὶ Ρεντίνης Δαμασκηνός (β). Ἐν τούτοις ὁ Κῶδιξ τῆς Μονῆς Σιάμου μᾶς παρέχει σοβαρὰν ἔνδειξιν ὅτι πρόκειται περὶ τοῦ ἰδίου προσώπου. Ὁ Κώδιξ πρὸ τῆς ἀκολουθίας τοῦ νεομάρτυρος Νικολάου ἐν ᾗ ῥητῶς ἀναγράφεται ὡς συγγραφεὺς Δαμασκηνὸς ὁ Στουδίτης, περιέχει ἀκολουθίαν Δαμιανοῦ τοῦ ὁσιομάρτυρος, ἐκ τοῦ χωρίου Μυρίχοβον τῆς Καρδίτσης καταγομένου, ἥτις ὅμως δὲν ἀναγράφει τὸν συγγραφέα, καὶ ὅστις Δαμιανὸς καὶ οὗτος ἑορτάζεται τῇ αὐτῇ ἡμέρᾳ 14 Φεβρουαρίου μὲ τὸν νεομάρτυρα Νικόλαον. Τὸ λεκτικὸν ὅμως ἀμφοτέρων τῶν Ἀκολουθιῶν, ἡ ἐν τῷ Κώδικι ἐν συνεχείᾳ καταχώρησις αὐτῶν μᾶς παρέχουσιν ἀφορμὴν νὰ δεχθῶμεν τὸν αὐτὸν δι' ἀμφοτέρας συγγραφέα.

Πλὴν ὅμως τούτων ἡ ἀκολουθία τοῦ Δαμιανοῦ εὑρίσκεται καὶ ἐν ἄλλῳ Κώδικι ἀποκειμένῳ ἐν τῇ βιβλιοθήκῃ τοῦ Πανεπιστημίου τῆς Τυβίγγης ἐν Γερμανίᾳ ὅστις ἀνῆκεν εἰς τὸν φιλέλληνα Ἑλληνιστὴν Μαρτῖνον Κρούσιον, καὶ οὗ φωτογραφικὸν ἀποτύπωμα ἐπρομηθεύθημεν ἐκεῖθεν (γ). Ἐν αὐτῷ ἀναγράφεται τὸ ὄνομα «Ρενδίνης Δαμασκηνός». ὅπερ εἶναι ἔτι μᾶλλον ἔνδειξις τούτου, ὅτι ἀμφότεροι οἱ Δαμασκηνοὶ εἶναι ἓν καὶ τὸ αὐτὸ πρόσωπον. Συμπίπτουσι δὲ εἰς τοῦτο καὶ αἱ χρονολογίαι. Ὁ Δαμιανὸς ἐμαρτύρησεν ἔτει ΖΟϚ' ἤτοι 1568 φέρεται δὲ ὡς συγγραφεὺς τῆς ἀκολουθίας του ὁ Ρενδίνης Δαμασκη-

(α) Ἡ ἐν Μετεώρῳ Κάρα φέρει τὴν ἑξῆς ἐπιγραφὴν «Αὕτη ἡ παροῦσα ἁγία Κάρα τοῦ ἁγ. Νικολάου τοῦ νεοφανοῦς ὑπάρχει ἐκ τῆς Ἱερᾶς Μονῆς τοῦ Μετεώρου 1734» συνεπῶς ἄγνωστον εἶναι εἰς ποῖον Νικόλαον ἀνήκει.

(β) Πρβλ. τὸ ἐμὸν δημοσίευμα περὶ τῆς Ἐπισκοπῆς Λιτῆς καὶ Ρενδίνης ἐν « Η Ἱερὰ Μητρόπολις Φαναριοφερσάλων κλπ. Ἀθ. 1929 σ. 255.

(γ) Τὸ κείμενον τῆς Ἀκολουθίας τοῦ ὁσιομάρτυρος Δαμιανοῦ ἐκ τοῦ φωτογραφικοῦ ἀποτυπώματος τοῦ Κώδικος τῆς Τυβίγγης ἐν ἀντιπαραβολῇ πρὸς τὸ κείμενον τοῦ Κώδικος Σιάμου, δημοσιεύεται παρ' ἡμῶν μετὰ προλεγομένων, ἐν τῇ Ἐπετηρίδι τῆς Ἑταιρ. Βυζαν. σπουδῶν τοῦ 1930 ἔτους.



νός, ὁ Νικόλαος ἐμαρτύρησεν ἔτει ΖΞΒ ἤτοι 1554, ἡ δὲ ἀκολουθία του συνετέθη ἔτει 1558 ὑπὸ Δαμασκηνοῦ Ἱερομονάχου τοῦ Στουδίτου. Ὁ Ἱερομόναχος λοιπὸν ἐν ἔτει 1558 Δαμασκηνὸς ὁ Στουδίτης, ἐν ἔτει 1568 εἶχε προαχθῆ εἰς Ἐπίσκοπον Λιτῆς καὶ Ρενδίνης, τῆς ἐν Μακεδονίᾳ.

Ἄξιον παρατηρήσεως εἶναι ὅτι ὁ Ἐγκωμιαστὴς καὶ ἐν τῷ Συναξαρίῳ καὶ ἐν τῷ Ἐγκωμίῳ παραλείπει τὸ θαυματολόγιον, ἀπαραίτητον ἐν παντὶ βίῳ Ἁγίου.

Ἡ δημοσίευσις τοῦ κειμένου γίνεται κατὰ πιστὴν ἀντιγραφὴν ἐκ τοῦ Κώδικος τῆς Μονῆς Σιάμου.

Ἐν Καρδίτσῃ κατὰ Μάρτιον 1930

† Ὁ Θεσσαλιώτιδος καὶ Φαναριοφερσάλων
ΙΕΖΕΚΙΗΛ

ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΑΚΟΛΟΥΘΙΑ
## ΑΓΙΟΥ ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΕΞ ΙΧΘΥΟΣ

***Εἰς τὰς ΙΔ΄ Φεβρουαρίου μνήμη τοῦ Ἁγίου ἐνδόξου νεομάρτυρος Νικολάου τοῦ Νεοφανοῦς. Ἐν τῷ μικρῷ ἑσπερινῷ ἱστῶμεν στιχ. δ΄ καὶ ψάλλομεν τὰ παρόντα προσόμοια,***

Ἦχος α΄. Πρὸς τό· Τῶν Οὐρανίων ταγμάτων

Τὸν εὐκλεῆ στρατιώτην τοῦ βασιλέως Χριστοῦ, τῶν ἀθλητῶν τὸ κλέος τὸν γενναῖον ὁπλίτην, Νικόλαον τὸν θεῖον πάντες πιστοί, καταστέψωμεν ᾄσμασι, τὰς γὰρ παγίδας καθεῖλε τοῦ δυσμενοῦς καὶ δολίου πολεμήτορος.

Τῇ τοῦ Σταυροῦ πανοπλίᾳ πυρὶ φρυαττόμενος τοῦ δυσμενοῦς καθεῖλεν τὰς ἐπάρσεις, παμμάκαρ, διὸ σὲ τῷ στεφάνῳ τῶν ἀθλητῶν ὁ Χριστὸς ἐστεφάνωσε, καὶ τῆς ἀφράστου ἠξίωσε χαρμονῆς, ἧς ἱκέτευε τυχεῖν καὶ ἡμᾶς.

Τῆς τοῦ Χριστοῦ σε ἀγάπης, οὐδὲν ἐχώρισεν οὐ πῦρ οὐδὲ γυμνότης οὐ δριμύτης βασάνων ἀπείρων θεοκῆρυξ, σῆς γὰρ ψυχῆς τὸ ἀδούλωτον φρόνημα, ἐπιδεικνύων ὑπέμεινας· σταθερῶς πάντα πόνον τὸν τοῦ σώματος.

Τοῖς τῶν αἱμάτων ῥείθροις μάρτυς Νικόλαε, Χριστὲ ὁ ζωοδότης, τὴν αὐτοῦ Ἐκκλησίαν ἐνδόξως πορφυρώσας ὡς ἀγαθός, σοὶ τὸ κράτος δεδώρηται· διὸ μὴ παύσῃ πρεσβεύων ὑπὲρ ἡμῶν τῶν τελούντων σοι τὴν μνήμην πιστῶς.

Δόξα Ἦχος πλαγ. α΄. Ἑλκόμενος ἐπὶ σταυροῦ.

Ἑλκόμενος ἐπὶ τὸ πῦρ οὕτως ἐβόας ἅγιε· διὰ ποῖον ἔργον θέλετέ με παράνομοι ἐκκαῦσαι· ὅτι τὸν ζωοδότην Χριστὸν ἐκήρυξα, ὅτι ὡς Θεὸν στεῤῥῶς τοῦτον κατήγγειλα, τὸ ψεῦδος ἠλεγξάμην καὶ τὴν πλάνην ἐμείωσα ; διὰ ποῖον ἔργον θέλετέ με παράνομοι ἐκκαῦσαι, ἀλλ᾽ ὄψεσθε ὑμεῖς ἐν τῇ δόξῃ Χριστοῦ, ἐμὲ λάμποντα.

Καὶ νῦν. Μακαρίζομέν σε Θεοτόκε παρθένε

Ἀπόστιχ. ἦχ. α΄ Πανεύφημοι μάρτυρες.

Μαρτύρων ἠρίθμησας χοροῖς· μάρτυς παναοίδιμε ὡς τὸν Χριστὸν τοῖς γενναίοις σου, δοξάσας σκάμμασι, καὶ στερ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



ρῶς κηρύξας ὡς κτίστην καὶ κύριον, ἁπάσης γενετῆς μάκαρ κτίσεως, ὃν νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Στιχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει

Οὐ πῦρ οὐδὲ ξίφος τῆς Χριστοῦ, σὲ ἀγάπης ἴσχυσαν, χωρίσαι μάρτυς Νικόλαε, ἀλλ᾽ ὥσπερ πρότερον, Παῦλος ὁ Θεόφρων, ἐβόας τρανώτατα, οὐδέν με τῆς Χριστοῦ ἀγαπήσεως, χωρῖσαι δύναται οὐ τὸ πῦρ οὐδ᾽ ἄλλη βάσανος, οὐ γυμνότης ἢ ξίφος ἢ θάνατος.

Στιχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ.

Ἰσχύϊ νευρούμενος Χριστοῦ, ἀθλητὰ Νικόλαε, πυρὸς ὁρμὴν οὐ κατέπτηξας, ἀλλ᾽ ὥσπερ πρότερον, οἱ τρεῖς Νεανίαι, ἵστασο ἀκλόνητος, ἐν μέσῳ τῆς φλογὸς παναοίδιμε, ὑμνῶν τὸν Κύριον, τὸν τῷ κόσμῳ παρεχόμενον, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Δόξα

Ὡς πρόβατον ἐπὶ τὸ πῦρ, ἤχθης στεῤῥὲ ἀθλητά, καὶ ὡς ἀμνὸς ἄκακος, ἐξεκαύθης τῇ φλογί, ὑπὸ τῶν παρανόμων ἀνδρῶν, διὰ τὴν βασιλείαν τοῦ Χριστοῦ Νικόλαε.

Καὶ νῦν. Θεοτ. Δέσποινα πρόσδεξαι

Τροπάριον ἦχ. Δ΄

Ὡς τῶν ἀθλοφόρων ὁμότροπος, καὶ τῶν ἐν ἀνάγκῃ ὑπέρμαχος, τῷ Δεσπότῃ τῶν ὅλων ἱκέτευε· εἰρήνην τῇ Οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ [1]

Τὰ τέσσαρα Προσόμοια τοῦ Μικροῦ Ἑσπερινοῦ καὶ εἶτα τὰ ἑξῆς δύο Στιχηρά.

Βαβαὶ τῆς σῆς καρτερίας στερρέ, ἣν ἐδείξω μέσον, πυρὸς τοῦ φλογίζοντος, ἱστάμενος ἀθλητὰ μάρτυς Νικόλαε, ἐφθέγξω γὰρ οὐδαμῶς, ὥσπερ ἑτέρου ἡγούμενος πάσχοντος, διὸ στεφάνου λαμπρῶς, κατεκοσμήθης τῆς νίκης σαφέστατα, καὶ πρὸς τὸν Θεὸν ἀνῆλθες νικητὴς πανάριστος, ἐκτενῶς ἱκέτευε ὑπὲρ πάντων τῶν τιμώντων σε.

Τὴν σὴν γεραίρουσιν ἄθλησιν, τῶν ἀγγέλων πλήθη, βροτῶν ἡ ὁμήγυρις, καὶ πάντων τῶν γηγενῶν γλῶσσα τιμᾷ σε πιστῶς, ἀγάλλονται οἱ χοροί, τῶν ἀθλητῶν νῦν λαμπρῶς σεμνυνόμενοι, χορεύει πᾶσα ἡ γῆ, ἁγιασθεῖσα κρουνοῖς τῶν αἱμάτων σου· καὶ μετ' εὐφροσύνης πάντες, ἀθλητὰ κραυγάζομεν, τοὺς τελοῦντας ἐν ὕμνοις τὴν σὴν μνήμην περιφρούρησον.

Δόξα. Ἦχ. πλ. β' Ἱεραρχῶν τὴν καλλονήν.

Τὴν τῶν μαρτύρων καλλονήν, τῶν ἀθλητῶν τὸ κλέος, τὴν βρύσιν τῶν θαυμάτων, καὶ τῶν πιστῶν πανφαῆ ἀντιλήπτορα. Συνελθόντες, ὦ φιλέορτοι, ᾀσματικοῖς ἐγκωμίοις ὑμνήσωμεν λέγοντες· χαίροις τῆς οἰκουμένης φαιδρὸς καὶ φύλαξ κραταιός, Νικόλαε ἔνδοξε, χαίροις λιμὴν γαληνότατε, τῶν δεινῶς χειμαζομένων, καὶ πρὸς σὲ καταφευγόντων, χαίροις τῆς Ἐκκλησίας ἐντρύφημα ὡραῖον, καὶ τῶν ἐν ἀνάγκαις θερμότατος προστάτης, ἀλλ' ὦ μαρτύρων ἐπισφράγισμα, μὴ ἐλλείπεις πρεσβεύειν Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν πίστει καὶ

---

1. Λείπει ἡ ἀρχὴ τοῦ Μεγ. Ἑσπερινοῦ ἐκπεσόντος ἑνὸς φύλλου ἐκ τοῦ Κώδικος. Ἄρχεται ἐκ τοῦ μέσου τοῦ τετάρτου Στιχηροῦ ὡς ἑξῆς «. .λάμψαντα, δεσπότην καὶ ποιητὴν τῆς αἰσθητῆς νοουμένης τε κτίσεως, καὶ τοὺς δυσσεβεῖς ἐλέγξας· σταθερῷ φρονήματι, καὶ πυρὶ τὸν ἀγῶνα, τὸν καλὸν ἀγωνισάμενος».

Ὁ προεστὼς ἀντὶ τῶν ἐλλειπόντων τεσσάρων Στιχηρῶν τοῦ Μεγ. Ἑσπερινοῦ δέον νὰ ἀντικαταστήσῃ αὐτὸν διὰ τῶν Προσομοίων τοῦ Μικροῦ Ἑσπερινοῦ. Σημ. Ἐκδότου.



πόθῳ τελούντων ἀεὶ τὴν χαρμόσυνον καὶ σεβάσμιον μνήμην σου.

Καὶ νῦν ὅμοιον, ὁ αὐτὸς Θ'

Τὴν τῶν παρθένων καλλονὴν καὶ τῶν ἀνθρώπων τὸ κλέος, τὴν μόνην Θεοτόκον καὶ τὸ πιστὸν ἀρραγὲς περιτείχισμα· συνελθόντες οὖν φιλέορτοι, ᾀσματικοῖς ἐγκωμίοις ὑμνήσωμεν λέγοντες· χαίροις, παρθενομῆτορ ἁγνὴ λυχνία χρυσαυγής· καὶ πύλη ἐπουράνιε· χαίροις σκηνὴ ἁγιάσματος· ἡ τὸν Θεὸν χωρήσασα ἐν μήτρᾳ σου πάνσεμνε· χαίροις τῶν οὐρανίων ταγμάτων ὑπερτέρα ἁπάντων ἀσυγκρίτως· διὸ μητράνανδρε δέσποινα, μὴ ἐλλείπῃς φρουροῦσα τοὺς δούλους σου, τοὺς ἀνυμνοῦντάς σε πίστει καὶ πόθῳ ἀεί, καὶ τὸν τόκον σου προσκυνοῦντας τὸν ἄσπορον.

Εἴσοδος. Προκείμενον τῆς ἡμέρας

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν....

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ....

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσιν....

Εἰς τὴν Λιτὴν ἦχος πλ. Δ' Σήμερον τῶν ὑδάτων.

Σήμερον τῶν μαρτύρων ἐπευφραίνονται αἱ τάξεις, καὶ σύμπασα ἡ Οἰκουμένη, σκιρτᾷ ἐν τῇ μνήμῃ τοῦ γενναίου ἀθλοφόρου, οὗ ταῖς πρεσβείαις σωθείημεν.

Ὁ αὐτός.

Σήμερον τῶν ἀνθρώπων ἐπαγάλλεται ἡ φύσις, καὶ ὕμνοις σε, ὦ θεοκῆρυξ, τιμᾷ κατὰ χρέος, ὡς αὐτὴν ταῖς σαῖς πρεσβείαις ἐκ τῶν σκανδάλων ῥυόμενος.

Ὁ αὐτὸς Πρ. Τοῖς συλλαβοῦσι σε :

Τοῖς συλλαβοῦσί σε παρανόμοις, μὴ πτοούμενος, οὕτως ἐβόας ἅγιε, εἰ καὶ κατακαύσητε τῷ πυρί με, καὶ διασκορ-

ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

πίσητε τὰ μέλη μου σύμπαντα εἰς τὸν ἀέρα, οὐδ' οὕτω χωρίσαι ἰσχύσετε τὸ παράπαν τῆς ἀγάπης Κυρίου, ἀλλ' ὑπομενῶ, ἵνα πληρωθῇ, ἃ ἐδήλωσεν ἡμῖν διὰ τῶν Ἀποστόλων, ἄρρητα θαυμάσια Κύριε δόξα σοι.

Ὁ αὐτὸς Πρ. Διὰ τὸν φόβον τῶν Ἰουδαίων.

Διὰ τὴν δόξαν σου ἐλεῆμον, ὁ φίλος σου καὶ ὁ γενναῖος μάρτυς, ἐκήρυξέ σε Κύριε, καὶ μαστιζόμενος οὕτως ἐβόα, τῶν ἀγώνων μου μὴ παρασιωπήσῃς, ἴδε γὰρ μαστίγων τὸν πόνον οἰκτίρμον, καί με ἐνίσχυσον, ὑπὲρ σοῦ ὑπομένοντα ταῦτα πάντα πολυέλεε Χριστέ.

Ὁ αὐτὸς Πρ. Πρὸ τοῦ τιμίου σου Σταυροῦ.

Πρὸ τοῦ θανεῖν σε τῷ πυρί, ὦ ἀθλητὰ θεοκήρυξ Νικόλαε, αἱ νοεραὶ στρατιαὶ κατεπλήττοντο, ὡς ἀδάμας γὰρ ἄκαμπτος ἵστασο, ὁ ἐκ γῆς πεπλασμένος ὡς ἄνθρωπος, καὶ τὸ σῶμα ἐκκαιόμενος οὐκ ἤλγησας, ὁ βροτείας συμμετέχων μάρτυς φύσεως· τοιαύτῃ γὰρ τῇ καρτερίᾳ, ἐπέτυχες τῆς βασιλείας Χριστοῦ, μαρτύρων ἄγαλμα ἔντιμον.

Ὁ αὐτὸς Πρ. Τάδε λέγει Κύριος τοῖς Ἰουδαίοις.

Τάδε λέγει Κύριος τῷ ἀθλοφόρῳ, γενναῖε τί ἐποίησάν σοι, ἀδίκως οἱ παράνομοι· ταῖς πληγαῖς σε κατέστιξαν, τῇ φρουρᾷ ἐναπέκλεισαν, ὥσπερ θῦμα ἐπὶ φλόγα ὁλοκαυτώθης, γενναῖε, νῦν ἐγώ σοι ταῦτα πλουσίως ἀνταμείψομαι· ἀντὶ τῶν πόνων τρυφήν, ἀντὶ τῶν ἄθλων σου στέφος, ἀντὶ τῶν ἐπικήρων, τὰ ἄφθαρτα δωρήσομαι, καὶ χαίρων ἴθι λοιπόν, εἰς δόξαν τὴν ἀγείρω· κἀκεῖ με ἀνευφήμησον, ἐν τῷ πυρὶ καὶ πνεύματι γνῶθί με τοῖς ἔργοις μου, θεὸν ἀληθέστατον.

Ὁ αὐτὸς προσ. Οἱ νομοθέται τοῦ Ἰσραήλ.

Ὁ ἀθλοφόρος τοῦ υἱοῦ, τοῦ παθόντος καὶ ἀναστάντος, ὁ στερρὸς Χριστοῦ ὁπλίτης, βοᾷ πρὸς ἡμᾶς· ἴδε χαράν, ἣν ἐγὼ ἐφεύρηκα, ἴδε τρυφήν, ἧς ἐγὼ ἐναπήλαυσα, πῦρ μὲ κατηνάλωσεν, ἀλλ' ἐν τῇ δόξῃ τοῦ Θεοῦ ὑπάρχω, μὴ πλανᾶσθε οὖν ὦ οὗτοι, φθαρτὰ γὰρ εἰσι τὰ ἐπίγεια ταῦτα, καὶ ἐπίκηρα πάντα· Χριστὸς ἐστὶν ἡ ζωὴ καὶ τὸ φῶς καὶ ἡ εἰρήνη τοῦ κόσμου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ — ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Ἦχ. πλ. γ'. Δεῦτε χριστοφόροι λαοί.

Δεῦτε χριστοφόροι λαοὶ κατίδωμεν, θαῦμα πᾶσαν ἔννοιαν, ἐκπλῆττον καὶ συνέχον, πῶς ὁ ὁπλίτης Κυρίου, τὸ πῦρ οὐκ ἐδειλίασε· σήμερον ἔνοχος θανάτου, ὁ ἀοίδιμος μάρτυς ἐγένετο, ὡς κηρύξας σαφέστατα, ἐν μέσῳ σταδίου τὸν Κύριον· καὶ ταῦτα πάσχω ἐβόα, ὁ στερρὸς τρανῶς λέγων. Δέξαι τἀνῦν Λόγε τὴν ἄθλησίν μου ταύτην, ὅπως τῆς σῆς με δόξης ἀξιώσῃς πολυέλεε.

Ἦχ. βαρύς. Θάμβος ἦν κατιδεῖν.

Θάμβος ἦν κατιδεῖν, ἐν τῇ φλογὶ τὸν Χριστοῦ ἀθλητήν· ἀνηλεῶς καιόμενον, ἄφθογγον ἑστηκότα, τῷ Δεσπότῃ δὲ μόνῳ, κρυφίως ὁμιλοῦντα, δι' ὃν καὶ τοὺς ἄθλους ἀπετέλεσε, σώματι θνητῷ, αὐτὸν ἀνυμνήσωμεν πάντες πιστοί.

Ἦχ. β' Ὅτε τῷ Σταυρῷ προσκ.

Ὅτε τῷ πυρὶ κατέκαυσαν, παράνομοι τὸν θεῖον ἀθλοφόρον, ἀγγέλων στρατιαί, τῇ χαρᾷ συνείχοντο, καὶ μαρτύρων τὰ τάγματα, μυστικῶς, εὐφραινόμενα τούτῳ ἐκραύγαζον, ἡμᾶς ἐν ἄθλοις μιμησάμενος· τῆς ζωῆς ἀντὶ τῶν φθαρτῶν, ἀντὶ πόνου πυρός, χαρᾶς νῦν ἐναπόλαυσε, ἀντὶ τῶν ἄθλων, στέφανον ὑπόδεξαι, ἀντὶ τοῦ σκότους, τοῦ φωτὸς ἐμφορήθητι, ἀντὶ τῆς θλίψεως, χαῖρε νῦν παναοίδιμε, Χριστὸς γὰρ μόνος πέλει, μαρτύρων ἀγαλλίαμα, σὺν τῷ πατρὶ καὶ ἁγίῳ πνεύματι.

Δόξα. Ἦχ. πλ. α' Σαλπίσωμεν

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, σκιρτήσωμεν ἑόρτια, καὶ χορεύσωμεν ἀγαλλόμενοι, ἐν τῇ δι' ἔτους πανηγύρει τοῦ ἀθλοφόρου πιστοί· στρατιαὶ οὐράνιαι εὐφραινέσθωσαν, καὶ τὸν ἀριστέα κροτήτωσαν ὕμνοις, δικαστῶν γὰρ ἤσχυνε· καὶ τῷ Χριστῷ παρίσταται νῦν, στεφανίτης ἐν οὐρανοῖς ὡς νεομάρτυς· ἡ γῆ τε καὶ θάλασσα τῶν ἀθλητῶν τοῦ πρώτου καὶ πάντων βασιλέως, συνελθόντες θαυμαζέτωσαν· ἡ νεότης τὸν χαληνόν, οἱ ἐν τῷ γήρᾳ τὴν βακτηρίαν· οἱ ἐν συμφοραῖς τὸν προστάτην, οἱ ἄποροι τὸν ποριστήν, οἱ ἐν εὐπορίᾳ τὸν οἰκονόμον, οἱ χειμαζόμενοι τὸν λιμένα, οἱ ἐν πελάγει τὸν συμπλωτῆρα, ἁπάντων χριστιανῶν τὸν ἀντιλήπτορα ᾄσμασι θεο-

πνεύστοις, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· ἀθλητὰ τρισμάκαρ, Νικόλαε πανένδοξε, τοῖς σὲ ἀεὶ ἀνευφημοῦσι γνησίως, αἴτησαι ἄφεσιν κακῶν, ψυχῆς τε καὶ σώματος.

Καὶ νῦν. Γερμανοῦ Πατριάρχου.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, προκύψασα γὰρ ἄνωθεν ἡ παντάνασσα μητροπάρθενος, ταῖς εὐλογίαις καταστέφει τοὺς ἀνυμνοῦντας αὐτήν· βασιλεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τὴν βασιλίδα κροτήτωσαν ἐν ὕμνοις· βασιλέα τέξασαν, τοῖς θανάτῳ κρατουμένοις πρίν, ἀπολῦσαι φιλανθρώπως εὐδοκήσαντα· ποιμένες καὶ διδάσκαλοι, τὴν τοῦ καλοῦ ποιμένος ὑπέραγνον Μητέρα, συνελθόντες εὐφημήσωμεν· τὴν λυχνίαν τὴν χρυσαυγῆ, τὴν φωτοφόρον νεφέλην, τὴν τῶν οὐρανῶν πλατυτέραν, τὴν ἔμψυχόν τε κιβωτόν· τὸν πυρίμορφον τοῦ Δεσπότου θρόνον, τὴν μανναδόχον χρυσαίαν στάμναν, τὴν κεκλεισμένην τοῦ λόγου πύλην· τῶν πάντων χριστιανῶν τὸ καταφύγιον· ᾄσμασι θεηγόροις ἐγκωμιάζοντες οὕτως εἴπωμεν· παλάτιον τοῦ λόγου, ἀξίωσον τοὺς ταπεινοὺς ἡμᾶς τῆς οὐρανῶν βασιλείας, οὐδὲν γὰρ ἀδύνατον τῇ μεσιτείᾳ σου.

Ἀπόστιχα πλ. α' Χαίροις ἀσκητ.

Χαίροις τῶν ἀθλητῶν ἡ κρηπίς, τὸ τῶν μαρτύρων θεῖον ὄντως ἐκσφράγισμα, ὁ πᾶσαν τοῦ διαβόλου καταβαλὼν τὴν ἰσχύν, καὶ πρὸς θείαν τρίβον καὶ σωτήριον, πιστῶς ὁδηγῶν ἀεί, τῶν βροτῶν τὰ συστήματα, χαίροις τὸ σθένος Ἐκκλησίας καὶ καύχημα, χαίροις ἄοσμον θῦμα μάρτυς τοῦ κτίστου σου, χαίροις τὸ εὐωδέστατον Χριστοῦ καλλιέργημα, ὁ τῶν πιστῶν σου τὴν μνήμην, τελούντων ῥύστης καὶ πρόμαχος· Χριστὸν ἐκδυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

Χαίροις ὁ τῇ ἀγάπῃ Χριστοῦ πυρποληθεὶς καὶ πρὸς ἀγῶνας καὶ σκάμματα, χωρήσας γενναιοφρόνως, καὶ τῷ Θεῷ προσαχθείς, ὥσπερ ἄρτος ὄντως εὐωδέστατος, πιστῶν τὸ προσφύγιον· τῶν νοσούντων ἀνάρρωσις, ἡ θεία σκέπη, ἀθλητῶν τὸ ἐκσφράγισμα, τῶν ἐν θλίψεσι πονουμένων παράκλησις,



δώρησαι τοῖς ὑμνοῦσί σε, ψυχῆς τε καὶ σώματος, ἀπαλλαγήν τε καὶ λύσιν τῶν δυσχερῶν μάρτυς ἔνδοξε. Χριστὸν ἱκετεύων, τὸν παρέχοντα τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Στιχ. Πεφυτευμένος

Ἄστρον Ἀνατολῆς νοητῆς τῷ στερεώματι Χριστοῦ ἀνατέταλκας, παμμάκαρ τῆς Ἐκκλησίας, καὶ δαδουχεῖς τὰς ψυχάς, τῶν προσφευγόντων ἐν τῇ λάμψει σου, ὑφ' ἧς ἐλλαμπόμενος, τῶν παθῶν ἐκδιώκομεν, τὴν σκοτομήνιν, καὶ τὸ φῶς τὸ τῆς χάριτος, εἰσδεχόμενος· σοῦ τὴν μνήμην γεραίρομεν, ὅθεν Χριστὸν δυσώπησον, ῥυσθῆναι κολάσεως, τοὺς ἀνυμνοῦντάς σε πόθῳ, καὶ μεγαλύνοντας πάντοτε, Νικόλαε μάρτυς, τῶν πταισμάτων· ἱλασμόν τε δοῦναι καὶ ἔλεος.

Δόξα ἦχ. πλ. δ'

Ἀθλοφόρε Νικόλαε, τῶν μαρτύρων ἐκσφράγισμα, σὺ καθάπερ κρῖνον, ἐν αὐλαῖς Κυρίου ἐξήνθησας τῶν πιστῶν τὰς φρένας, ἄριστα εὐωδιάζον, καὶ ὡς δένδρον ἀειθαλλές, τὸ παρὰ τὰς ὑδάτων διεξόδους, καρπὸν φέρον ὥριμον, ἐπευφραίνεις τοὺς μετέχοντας, ὅθεν καὶ ὑμᾶς τοὺς ὑμνοῦντάς σε περιφρούρησον, ἐκ παντοίας βλάβης δεινῶς ἐπερχομένης, ὅπως σὲ ἐν ὕμνοις γεραίρωμεν σωζόμενοι· τὸν πατέρα δοξάζοντες, τὸν παρέχοντα πᾶσιν ταῖς σαῖς ἱκεσίαις τὸ μέγα ἔλεος.

Καὶ νῦν Θ' Δέσποινα πρόσδεξαι.

Τὸ τροπάριον, Ὡς τῶν Ἀθλοφόρων ὁμότροπος

Τό, Θεοτόκε Παρθένε, καὶ ἀνάγνωσις τῶν Ἄρτων.

Τίθεμεν καὶ ἀνάγνωσιν εἰς τὸ Ἐγκώμιον τοῦ Ἁγίου.

ΠΑΛΛΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Εἰς τὸν α' στιχ. κάθισμα ἦχ. δ' Ταχὺ προκατάλαβε

Νομίμως ἐνήθλησας, σθένει τοῦ πνεύματος παμμάκαρ Νικόλαε, καὶ κατηδάφισας, δαιμόνων τὴν ἔπαρσιν, ὅθεν σε συνελθόντες, εὐφημοῦμεν ἐν ὕμνοις, μνήμην σου τὴν ἁγίαν, ἐτησίως τελοῦντες, δι' ὃ μὴ παύσῃς πρεσβεύων ὑπὲρ τῶν δούλων σου. Δὶς

Θ.

Μαρία θεόνυμφε καὶ παντευλόγητε, πιστῶν ἡ ἀντίληψις καὶ τὸ προσφύγιον, πρὸς σὲ καταφεύγοντα, οἴκτειρόν με καὶ σῶσον, ἐκ χειρὸς πολεμίου, λύτρωσαί με κινδύνου, καὶ παντοίας ἀνάγκης, ἵνα ὑμνῶ σε σωσμένος, σὲ τὴν πανάμωμον.

Εἰς τὸν β' στιχ. ἦχ. δ' Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ

Ὡς ἐπὶ πέτραν ἀκλινῆ τῶν δογμάτων τῶν τοῦ Χριστοῦ στερεωθεὶς γενναιόφρον, τὰ τῶν ἀθέων δόγματα κατέπτυσες, ὅθεν καὶ πρὸς ἄθλησιν προσεχώρησας μάρτυς. Θείᾳ τοῦ Δεσπότου σου δυναμούμενος ῥώμῃ, ᾗ καὶ πρεσβεύων πάντοτε τρανῶς, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων σε.

Θ'

Ἡ ἀπὸ γῆς πρὸς οὐρανὸν τεταμένη, ἄϋλος κλίμαξ μυστικῶς προετύπου τὴν λογικὴν καὶ ἔμψυχόν σου κλίμακα, σὺ γὰρ τὸ μεσότοιχον τοῦ φραγμοῦ καθελοῦσα, ἥνωσας πανύμνητε, τὰ τὸ πρὶν διεστῶτα· τὸν οὐρανὸν συνάψασα τῇ γῇ, καὶ τοὺς βροτοὺς τοῖς ἀγγέλοις ἑνώσασα.

Μετὰ τὸν Πολυέλεον Κάθισ. ἦχ. πλ. δ' Τὴν σοφίαν τοῦ λόγου

Νίκην τῆς τοῦ Δεσπότου σου γεγονώς, ἀπολαύεις ἐνθέου μάκαρ τρυφῆς, χοροῖς αὐλιζόμενος τῶν μαρτύρων νεόμαρτυς, ἐν γὰρ σταδίῳ πλάνην ἀθέων διήλεγξας, καὶ τὸν Χριστὸν τοῖς πᾶσι, Θεὸν ἀνεκήρυξας, ὅθεν καὶ τὸ σῶμα, τὸ σεπτόν σου ἐν ἥλῳ· πυρὶ δαπανόμενον, ἀπαράτρωτος ἔμεινας, ἀθλοφόρε Νικόλαε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου. Δὶς

ΔΑΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ



Θ.

Χαῖρε κλίμαξ ἣν ἴδε πρὶν Ἰακώβ, ἡ κατάγουσα ἄνωθεν τὸν Θεόν, καὶ γῆθεν ἀνοίγουσα, τοῖς βροτοῖς πρὸς οὐράνια, χαῖρε Κυρία κόσμου, καὶ κτίστου λοχεύτρια, ἡ τετοκυῖα Λόγον, πατρὶ τὸν συνάναρχον, χαῖρε φωτοφόρε, καὶ πυρίμορφε θρόνε, καὶ τράπεζα φέρουσα, τὸν τροφέα τῆς κτίσεως, χαῖρε κόσμου κοσμήτρια, κόσμησον κἀμοῦ τὴν ψυχήν, ὡς τεκοῦσα τὸν κόσμον κοσμήτορα, ἵνα πίστει καὶ πόθῳ δοξάζω σε Δέσποινα.

Τὸ α' ἀντίφ. τοῦ δ' ἤχου

Προκείμ. Δίκαιος ὡς φοῖνιξ.

Στιχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

***Εὐαγγέλιον ἐκ τοῦ Ματθαῖον***

Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα....

Μετὰ τὸν Ν' ἦχ. πλ. β' Τίς μὴ μακαρίσῃ.

Τίς μὴ μακαρίσῃ σου τὴν στερρὰν καρτερίαν, τίς μὴ ἀνυμνήσῃ σε, ἀθλοφόρε πολύτλα· τὸν γάρ ἀχρόνως, ἐκ γαστρὸς ἐκλάμψαντα παρθενικῆς, δι' ἡμᾶς γεγονότα ἄνθρωπον ἀνεκήρυξας στερρῶς· μὴ δειλιάσας βασάνους, ἀπείρους Νικόλαε, ξίφοις τὴν ἐκτομήν, πυρὸς τὴν καῦσιν, ὑφ' ἥνπερ καιόμενος, ἀπαράτρυτος ἔμεινας· μεγαλομάρτυς πανεύφημε, δι' ὃ ἱκέτευε Χριστὸν τὸν Θεὸν τὸν παντάνακτα, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Οἱ καν. Ὁ κανὼν τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς ϛ'

Οἱ δὲ δύο τοῦ Ἁγίου ἀνὰ δ'

Ὁ Κανὼν τῆς Θεοτόκου οὗ ἡ ἀκροστιχίς :

Ἡ τὸν Λόγον τέξασα, δίδου μοι λόγον

Ἐν δὲ τῇ Θ'—Ἀμήν.

Δόξα. Ἦχος δ' Ἀνοίξω τὸ στόμα μου

Ἡ κόσμον κοσμήσασα, τὴν εὐκοσμίαν ὡς τέξασα, τὸν κόσμον κοσμήτορα, κόσμησον δέομαι· Θεοκόσμητε, τὴν ἄκοσμον ψυχήν μου, εὐκόσμοις κοσμοῦσαν σε, ὕμνοις πανύμνητε.

Τὸν λόγον πανάχραντε, τὸν τοῦ πατρὸς σωματώσασα· ἡμᾶς ἠλευθέρωσας, ἐκ τῶν ἀλόγων παθῶν· ὅθεν λόγοις σε εὐλόγοις καταχρέος, πάντες μεγαλύνομεν καὶ μακαρίζομεν.

Ὄρος ἀλατόμητον, ὁ Δανιὴλ πρὶν τεθέαται, ἐξ οὗ λίθος πάναγνε, ἄνευ χειρὸς ἐκτμηθείς, πᾶσαν ἤμβλυνας τὴν ὁρωμένην στήλην, σὲ προδιεχάραττε καὶ ὃν γεγέννηκας.

Ναόν με πανάχραντε, τῶν θεϊκῶν ἐκλάμψεων σὺ μόνη ἀπέργασαι, ὡς ἂν δοξάζω σε, τὴν δοξάσασαν, τὴν ἄδοξον οὐσίαν ἡμῶν τῶν ἐνδόξως σε νῦν δοξαζόντων ἁγνή.

Ὁ καν. τοῦ Ἁγ. οὗ ἡ ἀκροστ Τὸν ἀρτιφανῆ μάρτυρα μέλπων θέμις.

Ἐν δὲ τοῖς δισὶ τροπαρίοις τῆς Θ΄ Δαμασκηνοῦ.

Ἦχος πλ. β΄ Κύματι θαλάσσης.

Τίμιος τῷ ὄντι ὁ θάνατος μάρτυς ὁ σὸς ἐπέφανες, Κυρίου ἔναντι, ὃν ἐκδυσώπει παμμάκαρ, οὐρανόθεν θείαν ἔλλαμψιν, παρασχεῖν μοι πόθῳ σὸν, γεραίροντι τὴν ἄθλησιν.

Ὅλος ἀπὸ βρέφους, Θεῷ ἀνετέθης, τῷ παντοκράτορι, μάρτυς Νικόλαε, δι᾽ ὃ καὶ τοῦτον ὑστέρως, τοῖς γενναίοις σου ἀθλήμασι, μεγαλύνας ᾔσχυνας ἐχθρὸν τὸν ἀνομώτατον.

Νέκρωσιν τῷ γένει, βροτῶν ὁ τεκτήνας, διὰ τῆς βρώσεως, ξύλου τῆς γνώσεως, νῦν ἡττηθεὶς παναρίστως, ὑπὸ σοῦ τοῦ γενναιόφρονος καταστῶμαι δείλαιος δεινῶς καταπατούμενος.

Θ.

Ἅπας ἐγκωμίων, ἡττᾶται παρθένε, νόμος σαφέστατος σοὶ προσβαλλόμενος· ἀλλ᾽ ὅμως δέχου καὶ ταύτην τὴν ᾠδὴν νῦν σὺν τῷ μάρτυρι, καὶ τοῖς πρόσω λόγον μοι, κατάπεμψον πανάχραντε.

Ἕτερος Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστ. κατ᾽ ΑΒ΄.

Ἐν τοῖς Θεοτοκίοις, Τοῦ αὐτοῦ

Ἦχ. πλ. δ΄ ἁρματηλάτην Φαραώ.

Ἁμαρτιῶν μου καὶ παθῶν τὴν ζόφωσιν, μακρὰν ἀπέλασον, μονογενῆ λόγε, τῇ παναλκεστάτῃ σου, δυνάμει καταύγασον, τῆς ψυχῆς μου τὰς κόρας, ἀμαυρωθείσας τοῖς πάθεσι, μάρτυρος τοῦ σοῦ παρακλήσεσιν.



Βεβηλωμένον με σαρκὸς τοῖς πάθεσιν, ὑσσώπῳ κάθαρον, σῶν πρεσβειῶν μάρτυς, καὶ τὴν τῶν αἰσθήσεων, διπλῆν πεντάδα φώτισον, κληρουχίας τῆς ἄμφω, συγκληρονόμον δεικνύων με, καὶ τρυφῆς ἐνθέου συμμέτοχον.

Γῆθεν μετέστη πρὸς τρυφὴν ἀδάπανον, ὑπενεγκὼν σταθερῶς τὰ τῶν πληγῶν στίφη, καὶ τὴν τοῦ φλογίζοντος, πυρὸς μὴ δείσας κάμινον, ἀλλ᾽ ἀνδρείως ἐλέγξας, τὴν τοῦ πατρὸς τάττοντος ἄνοιαν, ἔσεσθαι σαφῶς ἀρνησίθεον.

Θ.

Τὸν ὑπεράγαθον Θεὸν ἡ τέξασα, κεκακωμένην ἀεί, τὴν ψυχήν μου μόνη, ἀρεταῖς ἀγάθυνον, ὡς ἀγαθὴ ὑπάρχουσα Θεοτόκε παρθένε, ὅπως ἀξίως δοξάζωμεν, τὴν βροτῶν τὸ γένος δοξάσασαν.

Ὠδὴ Γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Λυχνία ἑπτάφωτος Παρθένε, καὶ ῥάβδος ἡ πρὶν τοῦ Ἀαρών, σὲ προσεδήλουν ἄχραντε, ἡ μέν, ὡς τὰς τοῦ πνεύματος δυνάμεις περιφέρουσαν, ἡ δέ, ὡς τέξασαν Κύριον.

Ὁ σὸς παναμώμητε προπάτωρ, καὶ πάντες ἐρρύσθημεν φθορᾶς, τῷ ξένῳ καὶ ἀφράστῳ σου, τόκῳ θεοχαρίτωτε, διὸ καὶ νῦν αἰτούμενος, τοῦ λυτρωθῆναι κολάσεως.

Γεδεὼν ὁ πόκος προεδήλου, καὶ βάτος ἡ ἄφλεκτος ἁγνή, ὁ μέν, ὡς δεξαμένην σε, ὀμβροντίον ἐπουράνιον, ἡ δὲ ὡς τῆς θεότητος τὸ πῦρ ἀφλέκτως ἐνέγκασαν.

Ὄρος σε κατάσκιον ἐκάλει, Παρθένε ὁ Θεῖος Ἀββακούμ, ἐξ οὗ προῆλθεν ἅγιος, ὁ τῶν ἁγίων ἅπασαν, τὴν χερσωθεῖσαν πάθεσι, φύσιν ἡμῶν καθαιρόμενος.

Ἄλλος. Σὲ τῶν ἐπὶ ὑδάτων

Ῥώμην ἐξ ὕψους θείαν, δεδώρηται ὁ κτίστης τῶν ἁπάντων, σοὶ θεοκήρυξ μάκαρ, δι᾽ ὃ ἀνδρείως ὑπέφερας, ἐν τῇ πυρὶ φλεγόμενος, μάρτυς Νικόλαος, πάντων ἀθλητῶν ἀγλάϊσμα.

Τύραννον ἐπηρμένον, κατέρραξεν εἰς γῆν ὀφρῦν τοῦ πλάνου· σαφῶς ὦ θεοκῆρυξ, τοῖς σοῖς γενναίοις ἀθλήμασι· Δι' ὃ Χριστῷ ἐκραύγαζεν, οὐκ ἔστιν ἅγιος πλὴν σοῦ Κύριε φιλάνθρωπε.

Ἴε μέν σε θεοκῆρυξ, οἱ πόθῳ σου τελοῦντες τὴν φωσφόρον, πανήγυριν ἐν ὕμνοις· ἐν τοῖς κινδύνοις ὑπέρμαχον, καὶ ἀρρωγὸν ἐν θλίψεσι, διὸ βοῶμέν σοι, χαίροις ἀθλητὰ Νικόλαε.

Θ.

Φύσεως μεταμείψας, θεσμοὺς ὁ κτίστης κόρη τῶν αἰώνων, προῆλθεν ἐκ νηδύος τῆς σῆς ἀσπόρως πανύμνητε, καὶ τὴν βροτῶν ἐθέωσε, φθαρεῖσαν πάθεσι, φύσιν ὡς Θεὸς καὶ Κύριος.

Ἄλλος— Ὁ στερεώσας καταρχ.

Δυναμωθεὶς ὁ Δανιήλ, τῇ τοῦ Θεοῦ πανοπλίᾳ, ἐξελθὼν τε ἀσυνὴς ἐκ τοῦ λάκκου, ἐξωλόθρευσε δαίμονας τοὺς τούτου κατακρίναντας· οὐδὲ τῇ καρτερίᾳ δαιμόνων στίφη διώλεσας.

Ἐπὶ τὴν ἄβυσσον τῆς σῆς φιλανθρωπίας προσπίπτω, ἐξαιτούμενος κακῶν μου τὴν ῥῦσιν, ἀλλ' ὡς μόνος συμπαθὴς καὶ φύσει πολυέλεος, πρεσβείαις οἴκτειρόν με, τοῦ σὲ γενναίως κηρύξαντος.

Ζῶσι φησὶν ὁ Σολομών, οἱ δίκαιοι ἐν Κυρίῳ, τῶν, τῶν καμάτων ἀπολαύοντες γέρα, διὸ τούτων σὺ γεγονώς, ὁμόζηλος Νικόλαε, διάδημα τοῦ κάλλους, ἐκ τῆς χειρὸς Θεοῦ δέδοξαι.

Ὁ καταβὰς ἐξ Οὐρανοῦ, καὶ τὴν σὴν μήτραν οἰκήσας, οὐρανόν σε λογικὸν τοῖς ἀνθρώποις, ἀναδείκνυσιν ἀεί, τῶν οὐρανῶν ὑπέρτερον, δι' ὃ μὴ παύσῃ τοῦτον ὑπὲρ ἡμῶν εὐμενίζουσα.

Καθ. ἦχ. Δ'. Κατεπλάγη Ἰωσήφ.

Ἐπιλάμψει θεϊκῇ, καταυγασθείς σου τὴν ψυχήν, τὸν συνάναρχον υἱόν, πατρὶ καὶ πνεύματι στερρῶς, ἐν τῷ σταδίῳ ἐκήρυξας ἀθλοφόρε, πάντων τῶν κτιστῶν ὄντα Κύριον, ὅθεν



καὶ δεινῶς μαστιζόμενος, καρτερικῶς ἐκραύγαζας παμμάκαρ, οὐδὲν τούτου δυνήσεται ποτὲ χωρίσαι, ἀλλὰ γενναίως, βούλομαι ἐκκαυθῆναι. (Δίς).

Ὠδὴ Δ' Τὴν ἀνεξιχνίαστον.

Νύμφην σε πανάμωμον, οἱ εὐκλεεῖς, κόρην τοῦ πατρὸς προκατήγγειλαν προφῆται πάλαι, καὶ γεννήτριαν υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος θεῖον οἰκητήριον ἄχραντε.

Τόμον ὁ προφήτης σὲ μῆτερ Θεοῦ, πάλαι προεώρα ἐν πνεύματι· ἐν ᾧ ὁ λόγος ἐγγραφεὶς τῷ τοῦ πατρὸς δακτύλῳ διεγράψατο βίβλῳ τῆς ζωῆς τοὺς τιμῶντάς σε.

Ἕλκει με πανάχραντε, πρὸς σὴν μολπήν, πόθος ὁ ἐγκάρδιος πάντοτε, ἀλλὰ ναρκοῦμαι πρὸς τὸ ἄτεχνον ὁρῶν, ὅπερ ὡς οἶδας πάναγνε, ἔκστρεψον καὶ δεῖξον με εὔτεχνον.

Ξένον τερατούργημα, εἶδεν ἐν σοί, φύσις ὁρατὴ καὶ ἀόρατος, τὸν γὰρ ἀχρόνως, ἐκ νηδύος πατρικῆς, ἐκλάμψαντα γεγέννηκας ἄνωθεν ὠδύνην θεόνυμφε.

Ἄλλος. Τὴν ἔναστρόν σου θείαν.

Ἀπαμφιάσω τῆς νεκρώσεως τὸν χιτῶνα σοφέ, τυπτόμενος ἀδίκως, δι' ὃ πρὸς τὴν ἀνώλεθρον ἔφθασες ζωήν, ἐνδυσόμενος μάρτυς θεῖον ἱμάτιον.

Νύκτα βαθεῖαν ἀπεμείωσας, ἀθείας σαφῶς, ὦ θεοκῆρυξ μάρτυς, τοῖς θείοις σου διδάγμασιν, ὅθεν πρὸς τὸ φῶς τῆς ἁγίας Τριάδος, χαίρων κατήντησας.

Ἡμέρα σήμερον ἀνέτειλε, θυμηδὴς δι' ἡμᾶς, πληροῦσα τοὺς ἐν ταύτῃ, γεραίροντας τὸν αἴτιον, ᾄσμασι σεπτοῖς, τὸν στερρὸν ἀθλοφόρον θεῖον Νικόλαον.

Θ.

Μήτραν οἰκήσας τὴν σὴν ἄχραντε, ὁ υἱὸς τοῦ Θεοῦ προῆλθεν σαρκοφόρος, καὶ τοῖς βροτοῖς ἐγνώρισται ἄνθρωπος ὁμοῦ, καὶ Θεὸς κατ' οὐσίαν, πέλων σαφέστατα.

Ἄλλος—Σύ μου ἰσχύς.

Ἡ φωταυγής σου καὶ φωσφόρος πανήγυρις, νῦν ἐπέστη, πάντας καταυγάζουσα τοὺς περιθέοντας ἐν αὐτῇ,καὶ τὸν



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

δεδωκότα ὑπομονήν σοι δοξάζοντας, καὶ σὲ μακαριοῦντας, τὸν τὸ πῦρ τὸ φλογίζον, μηδαμῶς δειλιάσαντα ἔνδοξε.

Θέσει Θεόν, σὲ ἀπειργάσατο Κύριος, ὅνπερ πάλαι, σταθερῶς ἐκήρυξας, ἐν τῷ σταδίῳ παρεστηκώς, ὅθεν οἱ τιμῶντες τὴν φωταυγῆ σου πανήγυριν, δειχθείημεν τῆς ἄνω μέτοχοι βασιλείας, ταῖς πρεσβείαις σου μάρτυς Νικόλαε.

Ἴδοιμι σέ, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ἱλεοῦντα, Κύριον τον εὔσπλαχνον, ὑπὲρ ἡμῶν τῶν ἐπὶ τῆς γῆς, σὲ μακαριούντων, καὶ κεκτημένων σε πρόμαχον, φρουρόν τε καὶ προστάτην, καὶ προθύμως ᾠδήν σοι, κομιζόντων παμμάκαρ ἱκέσιον.

Υψοποιῶν, τοὺς γηγενεῖς ὁ φιλάνθρωπος ἐκ γαστρός σου, σάρκα προσλαβόμενος, ὤφθη βροτοῖς,ἄνθρωπος ὁμοῦ καὶ Θεὸς ὑπάρχων, καὶ πάντας ἀνεκαλέσατο πρὸς φῶς θεογνωσίας, ὃν ἱκέτευε κόρη καὶ ἡμᾶς οἰκτειρῆσαι τοὺς δούλους σου.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Αγίων ἁγίαν σε κηρύττομεν τὸν ἅγιον, σὺ γὰρ τῶν ἁγίων ὑπεράγνως, τεκνοῦσα, πάντας ἡμᾶς ἡγίασαν ὅθεν σε τιμῶμεν ἱεροῖς, κόρη μελῳδήμασι, καὶ συμφώνως γεραίρομεν.

Σοφίας με πάναγνε, καὶ σῆς ἰσχύος ἔμπλησον, τρίβους τε εὐθείας τοῦ υἱοῦ σου, νῦν βηματίζειν ὀρθῶς ε ὑ ῶ δ ω σ ον ὅπως σεσωσμένος σε ὑμνῶ, κόρη παναμώμητε, ὁ ἀχρεῖος ἱκέτης σου.

Αγνείας σε τέμενος καὶ θεῖον ἐνδιαίτημα, εὑρηκὼς ὑπάρχουσαν παρθένε· ὁ πάντων κτίστης ἐν σοὶ κατῴκησε, σάρκα εἰληφὼς ἄνευ σπορᾶς, καὶ πάντας ἀνέπλασε, τοὺς φθαρέντας τοῖς πάθεσιν.

Δαβὶδ προδιέγραψε, βασίλισσαν πανύμνητε, ἐν ἱματισμῷ διαχρύσῳ, παρισταμένην τῷ παντοκράτορι, ὥσπερ ὡς υἱῷ Σου καὶ Θεῷ, πρέσβευε ῥυσθῆναι με ἐκ παντοίας κακώσεως.

Ἄλλος, Θεοφανείας σου Χριστέ.

Αρμα τὸ πῦρ πρὸς οὐρανόν, σὲ ἀθλητὰ ἐπανάγον ὑπῆρξε, δι' οὗ ἔφθασες Νικόλαε, ἔνθα τῶν μαρτύρων τὰ τάγματα,



μιμητὴς γεγονὼς τούτων σαφέστατα, τὸ γὰρ πῦρ οὐδόλως κατέπληξας μαρτύρων ἐγκαλλώπισμα.

Ρήτωρ ἐδείχθης ἀληθής, τὰς συμπλοκάς, τῶν ἀθέων τυράννων, διαλύσας μάρτυς ἐνθεώτατα, ὅθεν συναγάλλου τοῖς μάρτυσι, συνεφάμιλλος γεγονὼς ἐν πόλῳ ἔνδοξε, καὶ τὴν θείαν δόξαν, τρανώτερον καθορῶν ἡμᾶς περίεπε.

Τέτρωσαι μάρτυς τῇ Χριστοῦ, ὡς ἀληθῶς κραταιᾷ ἀγαπήσει, διὰ τοῦτο σταθερῶς διήλεγξας, τοῖς σεπτοῖς σου λόγοις Νικόλαε, τοὺς τῆς πλάνης υἱούς, ὁμοῦ τε καὶ προϊστορας, ὡς μὴ σεβομένους Χριστὸν τὸν εἰς τὴν γῆν ὀφθέντα ἀμνόν.

Υψωσας κόρη τῶν βροτῶν, παναληθῶς τὴν πεσοῦσαν οὐσίαν, ὡς τεκοῦσα τὸν αὐτῆς κοσμήτορα, ὅθεν ὡς προέφης σῳζόμεναι, γενεαί σε πᾶσαι τρανῶς νῦν μακαρίζουσι, καὶ σὺν τῷ ἀγγέλῳ, βοῶσι, χρεωστικῶς χαῖρε πανάχραντε.

Ἄλλος Ἵνα τί μὲ ἀπώσω.

Κρῖνον ὥσπερ παμμάκαρ, ψαλμικῶς ἐν αὔλαξι ταῖς τοῦ Κυρίου σου, ἱερῶς ἀνέφη τὰς ψυχὰς καθηδῦνον τῶν πίστει σοι, προσιόντων μάρτυς, ἱκετικῶς τε ἐξαιτούντων, τῆς γεέννης ῥυσθῆναι πρεσβείαις σου.

Πυμανθεὶς ταῖς δολίαις, μηχαναῖς τοῦ δράκοντος, πρὸς σὲ κατέφυγον ἰαθῆναι τάχος, ἱκετεύω σε μάρτυς ὡς ἔχοντα, παρρησίαν ὄντως, πρὸς τὸν ἁπάντων βασιλέα, ὑπὲρ οὗ τοὺς ἀγῶνας διήνυσας.

Νικητὴς κατὰ πάντα τῶν πρὸ σοῦ γενόμενος μαρτύρων ἔνδοξε, νῦν ἐπαπολαύῃς, σὺν αὐτοῖς ἐν ἁγίων σκηνώμασι, δωρεῶν ἀπείρων, ὧν περ ἱκέτευε τυχεῖν με ἀθλητὰ τοῦ Κυρίου Νικόλαε.

Αφθαρσίας τὸν στάχυν, ἄρουρα βλαστήσασα ἡ ἀγεώργητος, τὴν ψυχήν μου πάσης ἀρετῆς τῇ ἐνδείᾳ λιμώττουσαν, ἔμπλησον καὶ δεῖξον, καρποὺς ἐνθέους ταῖς ἀρδείαις τῶν δακρύων βλαστάνοιτε ἄχραντε.

'Ωδὴ Ϛ'. Τὴν θείαν ταύτην

Ἰάσω φύσιν τὴν βρότειον, φθαρεῖσα τῇ ἀπάτῃ τοῦ ὄφεως, Χριστὸν κυήσασα, παρθενομῆτερ θεόνυμφε, τὸν τοῖς βροτοῖς διδόντα πλούσιον ἔλεος.

Δαβίδ σε πάλαι ἀλήθειαν, ἐκάλει ἐκ τῆς γῆς ἀνατείλασαν, παρθένε πάνσεμνε, ἐν ᾗ ἐξ ὕψους διέκυψε, δικαιοσύνη θεία καὶ ἀπολύτρωσις.

Ὁ πάντων κτίστης καὶ Κύριος, ἐκ σοῦ σωματωθεὶς παναμώμητε, λύμην κατέπαυσε, πολυθεΐας καὶ ἔνδειξε θεογνωσίας φέγγος πᾶσι τοῖς πέρασιν.

Υἱὸς ἀνάρχου γεννήτορος, καὶ λόγος πεφηνὼς θείου πνεύματος, βροτοῖς ὡμίλησε, σάρκα λαβὼν παναμώμητε, ἐκ σοῦ ὁ τῶν ἁπάντων κτίστης καὶ Κύριος.

Ἄλλος. Συνεσχέθη ἀλλ' οὐ κατεσχέθη.

Ρωμαλαίῳ καὶ σταθερρωτάτῳ, μάρτυς φρονήματι πεισθείς, ὡς λέων πρὸς βασάνους, προσεχώρησας ἀνδριοφρόνως, καὶ συμπατήσας, τὸν ἐχθρὸν σαφέστατα, τῷ τῆς νίκης στεφθεὶς στεφάνῳ, ἀνῆλθες ἔνδοξε πρὸς Θεὸν νικητής, ὅθεν οἱ πιστοὶ σὲ μακαρίζομεν.

Ἀσεβείας ἀλλ' οὐκ εὐσεβείας, ἤλεγξας μάρτυς τοὺς ἐναγεῖς, ἔχων ἐν σοὶ λαμπρὰν τὴν τοῦ πνεύματος φωτοφόρον χάριν, ὦ θεοκῆρυξ ἀθλητὰ Νικόλαε, διὰ τοῦτο καὶ πυρὸς ἐνύλου, σὺ κατεφρόνησας προσδοκῶν ἀληθῶς, θείαν ἀμοιβὴν μάρτυς πανάριστε.

Μακαρίας καὶ ἐλπιζομένης, ἔτυχες μάρτυς δωρεᾶς, τῆς γὰρ μετὰ μαρτύρων κατηξίωσαι χοροστασίας, ὡς μεγάλην τοῖς στερροῖς ἀκαμμάτοις σου, τὸν τὰ σύμπαντα νεύματι μόνῳ σοφῶς ἰθύνοντα, ἧς τυχεῖν καὶ ἡμᾶς πρέσβευε Χριστῷ τοὺς ἀνυμνοῦντας σε.

Θεοτοκίον

Ἐπὶ σέ μου πᾶσαν ἀνεθέμην, κόρη ἐλπίδα ψυχικήν, ὁμοῦ σωματικήν τε, διὸ πάναγνε ὡς βούλει μόνη σὺ πρὸς τὸ θεῖον τοῦ Υἱοῦ σου θέλημα, καθοδήγησον τὴν παναθλίαν ψυχήν μου δέομαι, μὴ ἐῶσαι δεινοῖς πταίσμασιν ἀεὶ καταποντίζεσθαι.

ΠΑΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΠΑΠΑΣΤΡΑΤΟΥ



Ἄλλος. Τὴν δέησιν ἐκχεῶ.

Ναμάτων τῶν ζωηρῶν τερπόμενος, ἐν σκηναῖς ἐπουρανίοις παμμάκαρ, διηνεκῶς ἀπολαύης, γενναίως αὐτομολήσας πρὸς ἆθλα καὶ σκάμματα, δι' ὃ μὴ παύσῃ χαλεπῶν, ἐκ κινδύνων ἐξαίρων τοὺς δούλους σου.

Ξενάγισον καὶ ἡμᾶς τοὺς πόθῳ σου τὴν φαιδρὰν ἐπιτελοῦντες ἡμέραν, ἐν τῇ φρικτῇ τοῦ Δεσπότου τραπέζῃ, ὡς παρρησίαν πλουτίσας πανένδοξε, τρανώτερόν τε καθορῶν ὃν ἐν γῇ ἐκ καρδίας ἐπόθησας.

Ὁ πάλαι τῷ νομοθέτῃ Κύριος, ἀμυδρώτερον ὠφθεὶς ἐν τῷ ὄρει, πλάκας διδοὺς γεγραμμένας τὸν νόμον, αὐτός σοι ῥώμην παμμάκαρ δεδώρηται, Νικόλαε μάρτυς Χριστοῦ, μὴ τὸ πῦρ δειλιᾶσαι τὸ πρόσκαιρον.

Θ'

Ὑπέφηνεν ὁ δαβίτης Μαρία σε τοῦ τῶν ὅλων βασιλέως Παρθένε, κράζων τρανῶς, διαχρύσῳ ἐσθῆτι, πεποικιλμένη ἐν δόξῃ παρέστι σοι βασίλισσα, ἣ σὲ φρικτῶς τετοκυῖα τῆς δόξης τὸν Κύριον.

Κοντ. Ἦχ. πλ. δ' Τῇ ὑπερμάχῳ.

Ὡς ὑπερμάχῳ κραταιῷ καὶ ἀντιλήπτορι, τῶν προσφευγόντων ἐσαεὶ ὑπὸ τὴν σκέπην σου, προσκομίζομεν τὸν ὕμνον σοι ἀθλοφόρε, ἱκετεύοντες ῥυσθῆναι πάσης θλίψεως. Ταῖς πρεσβείαις σου ἀθλητὰ παναοίδιμε, ἵνα κράζωμεν· χαίροις μάρτυς Νικόλαε.

Ὁ Οἶκος. Ἄγγελος πρωτοστάτης

Ἅπαντες τὴν στερράν σου καὶ θείαν καρτερίαν ἐκπληττόμενοι ἀθλοφόρε, Χριστὸν τὸν στεφοδότην ὑμνοῦμεν ἀγαλλόμενοι, καὶ σοὶ τῷ στεφανίτῃ τὴν ᾠδὴν προσάγοντες, βοῶμεν ταῦτα· χαίροις ὁ τοῖς πᾶσι τὸν Χριστὸν καταγγείλας, χαίροις ὁ τὴν πλάνην τῶν ἀπίστων ἐκφαυλίσας, χαίροις τῶν μαρτύρων τὸ θεῖον κειμήλιον, χαίροις τῶν ἀνθρώπων τὸ μέγα προσφύγιον, χαίροις ὅτι συνεπεύφρανες τῶν ἀγγέλων τὴν πληθύν, χαίροις ὅτι κατεπάτησας τῶν δαιμό-

νων τὴν ἰσχύν, χαίροις ὁ φανεὶς μάρτυς ἐν τῷ τοῦ κόσμου τέλει, χαίροις ὁ ἐκ γλώττης ἀποστάξας γλυκὺ μέλι, χαίροις χοροῖς μαρτύρων ἐφάμιλλε, χαίροις βροτοῖς διδοὺς ῥῶσιν πάντοτε, χαίροις πιστῶν ὁ φρουρὸς καὶ ῥύστης, χαίροις ἐχθρῶν ὁ στερρὸς διώκτης, χαίροις μάρτυς Νικόλαε.

*Μηνὶ τῷ αὐτῷ ΙΔ'*

*Τοῦ ἁγίου μεγαλομάρτυρος Νικολάου τοῦ νεοφανοῦς*

Πῦρ ὑπενεγκὼν Νικόλαε τρισμάκαρ
Γῆθεν μετέστης πρὸς Μονὰς αἰωνίους
Κάτθανε Νικόλεως δεκάτη
πυρὶ ἡ δὲ τετάρτη.

Οὗτος ὁ τοῦ Χριστοῦ γενναίως μάρτυς ὑπῆρχεν ἐξ εὐτελοῦς τινος χώρας, ἐπὶ χωρίων ἔθει, Ψάρη τὴν κλῆσιν ἐσχηκείας, περίπου τῶν τῆς Κορίνθου ὁρίων κειμένης· γεννήτορες δ' ἦσαν αὐτῷ Ἰωάννης καὶ Καλή, ἀμφότεροι θεοσεβεῖς καὶ τῷ Χριστῷ πιστεύοντες· οἵτινες τῷ δωδεκάτῳ ἔτει τῆς τοῦ μάρτυρος ἡλικίας τῶν ὧδε καταστάντες, κατέλιπον αὐτὸν μόνον οἴκαδε· ὁ δὲ μὴ φέρων τὴν τῶν γονέων στέρησιν, ἀφικνεῖται μετά τινων συμφυλετῶν, εἰς πόλιν λεγομένην Συλιβρίαν, ἀπέχουσαν ἡμέρας ὁδὸν τῆς Κωνσταν)λεως. Ἐν ᾗ συνέστιος τινι τῶν τῆς χώρας γνωρίμων γενόμενος, συνῆν αὐτῷ τῶν προσόντων ἐπιμελούμενος. Φόβῳ δὲ Θεοῦ στοιχειούμενος, καὶ τῷ τοῦ Χριστοῦ θείῳ νόμῳ πειθόμενος, τῶν ἐκκλησιῶν ὅση δύναμις οὐκ ἠμέλει. Οὕτω γοῦν καλῶς ἐκτραφείς, καὶ εἰς μέτρον ἡλικίας πεφθακώς, νομίμῳ γυναικὶ συνεζεύχθη, καὶ παίδων πατὴρ γενόμενος, τοῖς οἰκείοις ἤθεσι, καὶ τοῖς τοῦ Χριστοῦ διδάγμασι τούτοις ἀνέτρεφεν. Ὡς ἐκ τοῦ καρποῦ τὸ δένδρον γινώσκεσθαι· ἀμέλει καὶ τῇ τοῦ κόσμου τύρβει συναυλιζόμενος. Ἦν γὰρ ἐν τῇ λεωφόρῳ πιπράσκων τὰ βρώσιμα, οὐδόλως τῆς ἑαυτοῦ σωτηρίας ἠμέλει, ἀλλὰ διηνεκῶς τῶν πενήτων ἐπιμελούμενος, ἵλεου τὸ θεῖον ἐλεημοσύναις, καὶ ταῖς ἀεὶ Ναῶν θαμίσεσιν· ἀλλ' ἐπειδὴ καὶ μείζονος ἠφίειτο χαρίσματος, λέγω δὴ τοῦ μαρτυρίου τούτου καὶ ἠξίωται· τοῦ γὰρ βασιλέως τῶν ἰσμαηλιτῶν Σουλεϊμὰν ἐν τῷ τριακο-



στῷ τετάρτῳ ἔτει τῆς αὐτοῦ βασιλείας[α] ἐν τῇ περσίδι πορευθέντος, κατελήφθη ἔπαρχος ἐν τῇ Κωνσταντίνου.... πόλει, Σινὰν [β] ἐπονομαζόμενος. Ὃς τῇ τοῦ βασιλέως ἀγχιστείᾳ ἐπερειδόμενος τυραννικῶς κατεδουλοῦτο τὸ ὑπήκοον· οὐδὲν μὲν χρηστὸν ἐπιδεικνύμενος, μόνῃ δὲ τῇ ἀξίᾳ φυσιούμενος, πᾶν εἴ τι δεινὸν καὶ χριστιανοῖς ἐπαχθὲς κατειργάσατο· οὓς μὲν γὰρ ἐν τοῖς ληστρικοῖς πλοίοις κατέρριπτεν· οὓς δὲ τῇ τῶν δεινῶν ἐλπίδι κατέπληττε. Τότε δὲ καὶ ὁ τοῦ Χριστοῦ νεομάρτυς οὑτοσὶ Νικόλαος, ἀδίκως ὑπὸ τῶν ἐν τῇ λεωφόρῳ συγγειτνιαζόντων αὐτῷ ἀγαρηνῶν φθονηθείς, ἅτε δὴ πλέον αὐτῶν πωλῶν τὰ ὤνια, ἤχθη εἰς Κωνστ)λιν, ὡς τὸν ψευδοπροφήτην Μωάμεθ ὑβρίσας, ἔνθα τῷ τοῦ Ἐπάρχου βήματι παραστάς, καὶ μηδὲν ὑποσταλείς, ἀληθῶς ἑαυτὸν χριστιανὸν ὁμολόγησε, καὶ τὴν τῶν ἰσμαηλιτῶν θρησκείαν ὡς ψευδῆ ἀπήλεγξε· διὸ τῇ τοῦ Ἐπάρχου κελεύσει πλεονάκις ῥοΐνους ῥάβδοις τυφθείς, ὡς καὶ τὰ ἄκρα τῶν ποδιαίων ὀνύχων αἷμα ἀφίνων εἰς φυλακὴν ἀπερρίφθη· μετὰ δὲ τέτταρας ἡμέρας αὖθις ἐξαγαγὼν αὐτὸν ἐπειρᾶτο θωπείαις, καὶ τιμῆς μεγίστης ἐλπίδι τοῦτον ὑποσκελίσαι, καὶ πεῖσαι τῆς εἰς Χριστὸν ἀποστῆναι πίστεως· ἀλλ' οὐδὲν εἰς τέλος ὁ ἀλιτήριος ἤνυσεν· ὁ γὰρ τῷ ὄντι τῆς ἀληθείας μάρτυς Νικόλαος, μᾶλλον τῆς εὐσεβοῦς δόξης ἀντείχετο, καὶ τὸν Χριστὸν ἐπιβοώμενος, τοὺς ἀσεβεῖς τῆς ἀπιστίας διήλεγξε, καὶ τῶν αὐτῶν ψευδοπροφήτων, υἱὸν διαβόλου καὶ ἀντίθετον ἐπωνόμαζε· διά τοι τοῦτο ἁλύσεσι τοῦ τραχήλου δεθείς, καὶ φορμὸν ἀνθ' ἱματίου τῇ σαρκὶ περιτεθεὶς περιῆλθε τὴν πόλιν ἅπασαν ὑπὸ τῶν δημίων ἑλκόμενος. Ἐπεὶ δὲ τοῦτο οὐδὲν αὐτὸν τῆς εὐσεβοῦς ἀπέστησε πίστεως, μᾶλλον δὲ ὑπερίσχυσε, κελεύσει τοῦ Ἐπάρχου ἐν τῷ ἱπποδρομίῳ πῦρ ἀνήφθη σφοδρόν, ἐν ᾧ τὸν Ἅγιον ἀπαγαγόντες οἱ τῆς ἀσεβείας ὑπασπιταί, οὐκ εὐθεῖς ἐν αὐτῷ τοῦτον ἐνέβαλλον, ἀλλὰ κατὰ μικρὸν τὰς ἁγίας αὐτοῦ σάρκας τῇ πυρᾷ δαπανῶντες, δριμυτέραν αὐτῷ τιμωρίαν εἰργάζοντο. Εἶτα τοῦ Ἁγίου ἐφ' ἱκανὴν ὥραν ἑστῶτος, καὶ ἑαυτὸν γνῶντος μὴ δύνασθαι ἔτι ἵστασθαι, προσκλίναντος

(α) Σουλεϊμὰν ὁ Α' ἐβασίλευσεν ἔτη 47, 1520—1566.

(β) Σ. Ε. ἀντὶ τοῦ Ὀσμὰν σύνηθες τοῖς Ὀθωμανοῖς. Κατ' ἀνακοίνωσιν τοῦ Θεσσαλοῦ Τουρκομαθοῦς ἱστοριοδίφου κ. Χρ. Καλοχαιρινοῦ.

ἐπιδεξιοῖς, ὁ σπεκουλάτωρ τὰς ἁλύσεις τείνας, ἣν γὰρ αὐτὰς ὁ μάρτυς ἔτι τῷ τραχήλῳ περικείμενος, ξίφει τὴν ἁγίαν αὐτοῦ κεφαλὴν ἀπέτεμε· καὶ οὕτως ὁ γενναῖος μάρτυς τὴν ψυχὴν εἰς χεῖρας Θεοῦ παρέθετο· τὸ δὲ τίμιον αὐτοῦ σῶμα, τῇ φλογὶ καταναλωθέν, κόνις ἐγένετο, μόνη δὲ ἡ τιμία αὐτοῦ κάρα παρά τινος τῶν πιστῶν, ἐκ τοῦ σπεκουλάτορος ὠνηθεῖσα χρυσίνοις εἴκοσιν, ἀπεστάλη ἐν τῇ τοῦ Ὁσίου πατρὸς ἡμῶν Ἀθανασίου Μονῇ τῇ ἐπικεκλημένῃ Μετεώρῳ· ἔνθα καὶ ἔν ἐστι πολλῶν θαυμάτων πηγὰς ἀναβλύζουσα, εἰς δόξαν Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, ᾧ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν· ταῖς τοῦ σοῦ ἁγίου πρεσβείαις ὁ Θεὸς ἐλέησον ἡμᾶς· ἀμήν.

Ὠδὴ Ζ΄. Οὐκ ἐλάτρευσαν.

Μακαρίζουσί σε πᾶσαι παναμώμητε, ἄχραντε δέσποινα αἱ γενεαὶ ὡς αὐτή, προέφης σῳζόμεναι καὶ σοὶ κραυγάζουσι χαῖρε πάναγνε, ἡ τὴν ζωὴν εἰσάξασα, τοῖς ἐν κόσμῳ εἰς αἰῶνας.

Ὁ τοῦ νόμου σε σκιῶδες, τύπος πάναγνε, σαφῶς διέγραφε, στάμνος καὶ ῥάβδος ναόν, καὶ ὄρος κατάσκιον ἐξ οὗ ἐπέφανεν ὁ Θεὸς ἡμῶν, κόσμον φθαρέντα πάθεσιν ἀναπλάττων εἰς αἰῶνας.

Ἰακώβ σε προεώρα, πάλαι κλίμακος θεογεννήτρια, δι' ἧς βροτοὶ ἀπὸ γῆς πρὸς ὕψος αἰρόμεθα, σοὶ ἀνακράζοντες, χαῖρε Δέσποινα ἡ τὴν ζωὴν εἰσάξασα τοῖς ἐν (σ) κόσμῳ εἰς αἰῶνας.

Λυτρωθέντες τῆς κατάρας τῇ γεννήσει σου, Παρθένε πάνσεμνε τῆς τοῦ Ἀδὰμ οἱ πιστοί, συμφώνως τὸ χαῖρε σοι βοῶμεν πάντοτε· ἱκετεύοντες τῆς ἐν τῷ Ἅδῃ θλίψεως, λυτρωθῆναι σαῖς πρεσβείαις.

Ἄλλος. Ἄφραστον θαῦμα.

Λειμῶνος θείου, περιπολεύων σὺν μάρτυσι· τὸ χωρίον μάρτυς ἐσαεί, ἡμᾶς τοὺς εἰς σὲ προσφεύγοντας οἴκτειρον· καὶ τῆς μελλούσης ὀδύνης ῥῦσαι πάντας, ἀθλητὰ τοὺς σὲ πόθῳ νῦν τιμῶντας.



Πυρὸς τὸν ῥοῖζον οὐκ ἐδειλίασας ἔνδοξε, ἀλλ' ἀτρέπτως ἵστασο στερρέ, ἐν μέσῳ φλογὸς ἀθλητὰ Νικόλαε, τῷ τῶν ἁπάντων Δεσπότῃ ἀναμέλπων, λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἔαρ τοῖς πᾶσι σωτηριῶδες ἀνέτειλε, τὰς καρδίας πάντων τῶν πιστῶν, εὐφραῖνον τρανῶς, δεῦτε οὖν συνδράμωμεν, καὶ τῷ Κυρίῳ βοήσομεν συμφώνως, λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Θ΄

Ἵνα ζωώσῃ τοὺς πρὶν τῇ βρώσει τεθνήξαντας, ἐκ γαστρός σου κόρη σαρκωθείς, μόνος ὁ Θεὸς δι' οἶκτον ἀπέφηνεν· ᾧ μελῳδοῦμεν οἱ πιστοὶ σεσωσμένοι, λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἄλλος. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

Πρόστηθι πάντων ἐν τῇ ὥρᾳ, τῆς δευτέρας τοῦ Δεσπότου παρουσίας, τῶν ἐν πίστει φρουρόν, καὶ πρόμαχον καὶ ῥύστην, ἐχόντων σε Νικόλαε, ἐξαιρούμενος γεέννης.

Ῥήμῃ Θεοῦ ἐνίσχυσέ σε, ὥσπερ πάλαι τοῦ Ἰὼβ ἐπὶ κοπρίας, ἐρριμμένον δεινῶς, διὸ πυρὶ ἐνύλῳ, ἠλόγησαι τὸ σῶμα σου, δαπανώμενον διόλου.

Σὺ τῇ τραπέζῃ προσηνέχθης, τοῦ Θεοῦ καθάπερ ἄρτος ἐν τῇ μάκτρᾳ φυραθεὶς ἀθλητά, ἀθλήσεως τῆς θείας, διὸ χοροῖς ἠρίθμησαι τῶν μαρτύρων εἰς αἰῶνας.

Θ΄

Τέτοκας λόγον τὸν ἀχρόνως προεκλάμψαντα γαστρὸς ἐκ τῆς πατρῴας, τὴν βροτείαν μορφὴν ἀρρεύστως προσλαβόντα, ἐκ σῆς νηδύος ἄχραντε τῶν πιστῶν ἡ σωτηρία.

Ὠδὴ Η΄. Παῖδας εὐαγεῖς.

Ὄρθρος τοῖς ἐν σκότει καθημένοις, τοῦ βίου ἐδείχθης παναμώμητε, τούτοις ἀνατείλασα ἥλιον τὸν ἄδυτον, ψυχὰς καταφωτίζοντα, ψάλλειν ἐγείροντα, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Γένος τῶν βροτῶν σοῦ τῇ γεννήσει τῆς πρῴην κατάρας παναμώμητε, λυτρωθὲν ἑκάστοτε, χαῖρε ἀνακράζει σοι ἡ τὸν Χριστὸν κυήσασα, τοῖς πίστει μέλπουσι, τὸν Κύριον ὑμνῆτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὅλος ἐκ τοῖς κάτω ἦν ὁ λόγος, τῶν ἄνω οὐδόλως χωριζόμενος, μῆτερ ἀπειρόγαμε, μόνη πανευλόγητε, εἰ καὶ βροτοῖς ὡμίλησε, βροτὸς γενόμενος τοῦ σῶσαι τοὺς πιστοὺς μελωδοῦντας, σὲ ὑπερυψοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας.

Θ'.

Νῦν ὡς σὺ προέφης ἀπὸ θρόνων, καθεῖλε δυνάστας παναμώμητε, ταπεινούς τε ὕψωσεν, ἀγαθῶν ἐνέπλησε πεινῶντας ὡς φιλάνθρωπος, ὁ τὴν σὴν ἄχραντον οἰκῆσαι βουληθεὶς κόρη μήτραν, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Ἔκστηθι φρίττων οὐρανέ.

Ναμάτων μάρτυς ζωηρῶν, ἀεὶ πληρούμενος, ὡς τῷ θρόνῳ τοῦ Θεοῦ ἀπαύστως παρεστώς, νῦν δρόσισον τὴν ταπεινήν μου ψυχήν, τακεῖσαν τῷ φλογμῷ τῶν πταισμάτων, ἵνα πάντοτε κράζω, ἱερεῖς ἀνυμνεῖτε καὶ ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Θέσει γενόμενος Θεὸς τὴν ὑπερούσιον κατοπτεύεις ἐμφανῶς, Τριάδα, ἐν πόλῳ Νικόλαε, ἣν ἐκδυσώπει, ἡμᾶς σῶσαι τοὺς πίστει μελωδοῦντας, οἱ παῖδες εὐλογεῖτε ἱερεῖς ἀνυμνεῖτε εἰς πάντας τοὺς αἰῶνας.

Ἔκστηθι γῆ καὶ οὐρανὲ πῶς ὁ ἐπίγειος, νῦν Οὐράνιος σαφῶς ὑπῆρξε, τὸ γὰρ πῦρ οὐκ ἔπτηξεν, ὑπὲρ ἀγάπης Χριστοῦ, ἀλλ' ἔστη παρρησίᾳ κραυγάζων, οἱ παῖδες εὐλογεῖτε ἱερεῖς ἀνυμνῆτε λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θ'

Μήτηρ μὲν γέγονας ἁγνή, παρθένος δ' ἔμεινας, μετὰ τόκον ἀψευδῶς, Θεοῦ γὰρ ἡ γέννησις πέφηκεν ὃς μηδαμῶς θεσμοὺς τῆς φύσεως γινώσκει ῥαδίως, ὃν παῖδες εὐλογοῦσιν ἱερεῖς ἀνυμνοῦσιν εἰς πάντας τοὺς αἰῶνας.



Ἄλλος. Τὸ ἐν ὄρει ἁγίῳ.

Τῶν ἐσόπτρων λυθέντων θεοκῆρυξ ἐποπτεύει, τρανῶς τὴν παναγίαν καὶ τριφεγγεῖ Τριάδα τὴν ἀμέριστον, Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε βοῶν εἰς τοὺς αἰῶνας.

Ὑπὸ πέτρας ὀπὴν ἑστὼς κατεῖδεν ὁ θεόπτης, τὸν Κύριον τῆς δόξης, οὐδὲ τανῦν παμμάκαρ καθαρώτερον, τοῦτον κατοπτεύεις, ὕμνον ἀναμέλπομεν εἰς πάντας τοὺς αἰῶνας.

Φῶς ἐκλάμψαν, ἐν τῇ καθαρωτάτῃ σου καρδίᾳ γενναῖον πρὸς βασάνοις, εἰργάσατό σε ἔνδοξε Νικόλαε, Κύριον ὑμνοῦντα καὶ ὑπερυψοῦντα εἰς πάντας τοὺς αἰῶνας.

Ὁ ἀμήτωρ ὑπάρχων πρὸ αἰώνων, ἐπ' ἐσχάτων ἀπάτωρ ἐγεγόνει, ἐκ σῆς νηδύος σάρκα προσλαβόμενος, ἄχραντε Παρθένε, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ Θ'. Ἅπας γηγενής.

Ἁγίασον ἡμῶν ψυχῆς καὶ τοῦ σώματος κόρας θεόνυμφε, ὡς τὴν ἐνυπόστατον, αὐγὴν τεκοῦσα, καὶ τοῖς καθεύδουσιν ἐν σκότει ὡς ἀστράψασα φῶς τὸ ἀΐδιον, ὅπως τρίβοις θείοις βηματίζοντες, οὐρανῶν βασιλείαν τευξώμεθα.

Μόνην ἐκ πασῶν γενεῶν σε Κύριος ἁγνὴν εὑράμενος, ᾤκησεν ἐν μήτρᾳ σου, διὸ γυναίων τῶν πρὶν ὑπέρκεισαι, εἰ γὰρ κἀκεῖναι ἴσχυσαν τεκεῖν πανάμωμε, ἀλλὰ σύ γε πάντα ὑπερβέβηκας, ὡς Θεὸν τὸν ἁπάντων γεννήσασα.

Ἧκται διὰ σοῦ ἡ φύσις ἡ ἔκπτωτος ἡμῶν πανύμνητε, πρὸς τὴν ἐπουράνιον καὶ μακαρίαν θείαν ἀπόλαυσιν, ὁ γὰρ πατρὶ συνάναρχος Υἱὸς καὶ πνεύματι ἐκ πατρός σου ταύτην προσλαβόμενος δεξιᾷ τῇ πατρῴᾳ τετίμηκεν.

Νεῦσον πρὸς τὰ σά, ἐφύμνια πάναγνε καὶ τὴν πολύφωτον χάριν σου κατάπεμψον, ἡμῖν παρθένε τοῖς σὲ γεραίρουσιν, ὡσὰν προθύμως πάντοτε σὲ μεγαλύνοντες ἐκβοῶμεν, χαίροις παμμακάριστε Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Ἄλλος. Μὴ ἐποδύρου.

Ἱερῶς καθάπερ κρῖνον, ἐν αὐλαῖς τοῦ Κυρίου ἐξήνθησας, μαρτύρων ἐγκαλλώπισμα φαιδρόν, τῶν ἐν πίστει τελούντων τὴν ἁγίαν σου καὶ ἐτήσιον μνήμην, χαρᾶς πνευματικῆς, ἐμπιπλῶν τὰς καρδίας μάρτυς Νικόλαε.

Στρατιαὶ τῶν ἀσωμάτων, τὸ στερρὸν τῆς ψυχῆς σου, ὁρῶσαι κατεπλήττοντο Νικόλαε τρανῶς, τὸ γὰρ πῦρ τὸ φλογίζον οὐ κατέπτηξαν, ἀλλ᾽ ἐστὶν ἐν σταδίῳ ἐν ὕμνοις Ἰησοῦν τὸν Χριστὸν καὶ πατέρα μάρτυς πανάριστε.

Δυσωπῶν νῦν μὴ ἐλλείπεις ἐκτενῶς τὸν πατέρα, ἀπὸ πάσης μερισθῆναι παμμάκαρ προσβολῆς, μοχθηρᾶς κακίστης ὡς προθέμενον, ἀληθῶς τὴν ᾠδήν σοι ἣν πρόσδεξαι ψυχῆς σωτηρίαν μοι νέμων ταῖς ἱκεσίαις σου.

Καινουργεῖται παναρίστως ἡ βροτεία οὐσία Μῆτερ Θεοῦ τῷ ξένῳ καὶ ἀφράστῳ τοκετῷ σοῦ παρθένε δεινῶς ἡ πρὶν διοίκουσα, νῦν δὲ χαῖρε βοᾷ σοι, ὃ δῶρον ἐμφανῶς δεχομένη ὡς μεῖζον ὕψωσον κέρας αὐτῆς.

Ἄλλος. Ἐξέστη ἐπὶ τούτῳ.

Χαρᾶς αἰωνιζούσης σὺ γεγονὼς τῶν μαρτύρων συμμέτοχος ἔνδοξε χωροβατῆς, τόπον τῆς Ἐδὲμ τῆς περικαλλοῦς, διὸ ὡς εὐεπίβατον ἔχων τοῦ Δεσπότου τὴν ἀκοὴν αἰτήμασί σου θείοις, τῆς ἄνω βασιλείας ἐπιτυχεῖν με καθικέτευε.

Ψελλίζοντος ἐκ στόματος τὴν ᾠδὴν δεδειγμένος ἀντάμειψον δίδου μοι, ὥσπερ χριστὸς τάλαντα τῆς χήρας δίολεπτα, προθύμως διεδέξατο, ἔχων παρρησίαν ὡς ἀγαθῶν ἀπείρων κληρονόμος μεθέξεώς τε θείας καταξιούμενος Νικόλαε.

Ὡς μάρτυς ἐννομμώτατος τῷ Θεῷ, στεφηφόρος παρίστασαι ἔνδοξε, διηνεκῶς ὅθεν τοῖς τελοῦσι σου τὴν σεπτὴν καὶ φωταυγῆ πανήγυριν, ἵλεων ἀπέργασαι ἐν δεινοῖς ἀεὶ χειμαζομένοις, οἰκτῆραι καὶ τῆς θείας ἐπιτυχεῖν μακαριότητος.

Θ΄

Ὑμνοῦμεν σε παρθένε οἱ διὰ σοῦ, τῆς ἀρχαίας ῥυσθέντες κακώσεως, καὶ τὴν φωνὴν πάντες σοι βοῶμεν τοῦ Γαβριήλ,



χαῖρε θεοῦ λοχεύτρια, χαῖρε ἡ τεκοῦσα τὸν ἐκ πατρὸς ἐκλάμψαντα ἀχρόνως, θεόν τε καὶ Δεσπότην, ὃν ἐκδυσώπει τοῦ σωθῆναι ἡμᾶς.

Ἐξαπ. Ὁ οὐρανὸς τοῖς ἄστροις.

Τοῖς μὲν πιστοῖς ἡ σὴ κάρα, πρὸς ἴασιν ἐπεδόθη, ἡ δὲ ψυχὴ ἐν θαλάμοις, περιπολεύη οὐρανῶν, διὸ τιμῶμεν σε πάντες, οἱ σχῶντες σε ἰατῆρα.

Ἕτερον. Γυναῖκες ἀκουτίσθ.

Μαρτύρων ὁμηγύρεσιν, ἠρίθμησαι πανένδοξε, αἵμασι σοῖς μεγαλείνας, τὸν τῶν ἁπάντων Δεσπότην, καὶ τῶν βασάνων ἅπασαν, ὑπενεγκὼν τὴν ἔφοδον, διὸ ἡμᾶς περίεπε τοὺς εὐφημοῦντας σε πόθῳ Νικόλαε ἀθλοφόρε.

Ὅμοιον Θ΄.

Μαρία παντευγένητε, παρθένε παναμώμητε, ἡ τὸν Χριστὸν τετοκυῖα τοῖς σε γεραίρουσι πίστει, πταισμάτων λῦσιν δώρησαι, ὅσα γὰρ θέλεις δύνασαι, τελεῖν ῥαδίως ἄχραντε, ὡς Μήτηρ οὖσα τοῦ πάντα ἰσχύοντος θεοῦ λόγου.

Εἰς τοὺς Αἴνους. Τὸ πᾶσα πνοὴ

Ἱστῶμεν στιχ. δ΄ ἠχ. δ΄. Ὡς γενναῖον ἐν μάρτυσι

Τῇ ῥοῇ τῶν αἱμάτων σου ἀθεΐαν κατέσβεσας, τὸν πυρσὸν νεόμαρτυς καὶ κατήντησας, ἔνθα μαρτύρων τὰ τάγματα, τρανῶς ἀγαλλόμενος, καὶ τὴν δόξαν τηλαυγῶς, τῆς Τριάδος θεώμενος ἣν ἱκέτευε ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι τοῖς ἐν πίστει ἐκτελοῦντας τὴν ἀεισέβαστον μνήμην σου.

Ταῖς βαφαῖς ταῖς ἐξ αἵματος, πορφυρίδα ἐπέχρυσας σεαυτῷ Νικόλαε ἡ σαφέστατα, κεκοσμημένος πρὸς ἅγια, ἁγίων ἐχώρησας, καὶ παρίστασαι Χριστῷ ἱκετεύων δωρήσασθαι, τοῖς ἐκ πόθου σου τελοῦσι τὴν μνήμην, τῶν πταισμάτων ἱλασμὸν καὶ βασιλείας τῶν οὐρανῶν ἐπιτεύξασθαι.

Συνεργίᾳ τοῦ πνεύματος τοῦ ἁγίου Νικόλαε, τῶν ἐχθρῶν κατέβαλες τὰ φρυάγματα, καὶ γὰρ δεινῶς μαστιζόμενος, εἱρκτῇ τε κλειόμενος, καὶ πυρὶ προσομιλῶν, ἀπαράτρωτος

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἔμεινας, ὅθεν εἴληφας, τοὺς στεφάνους τῆς νίκης, καὶ μαρτύρων, τοῖς χοροῖς συναριθμήθης περιφανῶς ἀγαλλόμενος.

Δόξα. Ἦχ. πλ. β'. Συγχάρητε ἡμῖν.

Συγχάρητε βροτοῖς ἅπασαι, αἱ τῶν μαρτύρων χοροστασίαι, ὁ ἀθλοφόρος γὰρ Χριστοῦ, καὶ ἡμέτερος ἀκέστωρ, καὶ φύλαξ ἀπροσμάχητος, τὴν σήμερον ἡμέραν, ἐν τῷ κλεινῷ αὐτοῦ τεμένει ἀοράτως ἐπιφαινόμενος καταυγάζει, τοὺς ἀνυμνοῦντας αὐτόν, ὅθεν ἐτησίως εὐφημοῦντες αὐτὸν βοήσωμεν, λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων ταῖς πρεσβείαις σου ἔνδοξε ἀθλητὰ Νικόλαε.

Καὶ νῦν Θ'

Συγχάρητε ἡμῖν ἅπασαι αἱ τῶν παρθένων χοροστασίαι, ἡ προστασία γὰρ ἡμῶν, καὶ μεσίτρια καὶ σκέπη καὶ μέγα καταφύγιον, τὴν σήμερον ἡμέραν, ἐν τῷ σεπτῷ αὐτῆς τεμένει, παραδόξως ἐποπτανόμενος ἁγιάζει τοὺς εὐφημοῦντας αὐτήν, ὅθεν κατὰ χρέος ἀνυμνοῦντες αὐτὴν βοήσωμεν, σκέπασον ἡμᾶς τῇ ἀγρύπνῳ προστασίᾳ σου, ἄχραντε Θεοτόκε πάναγνε.

***Δοξολογία μεγάλη καὶ ἀπόλυσις.***

Εἰς τὴν προσκύνησιν τῆς Κεφαλῆς τοῦ Ἁγίου

Ψάλλομεν τὰ παρόντα Ἰδιόμελα. Ἦχος α'.

Τίς ἰσχύσει πρεπωδῶς, ἀνυμνῆσαι σε νεομάρτυς, τῇ δυνάμει γὰρ τοῦ Χριστοῦ περιφραχθείς, τὸ πῦρ οὐκ ἔπτυξας ἀλλ' ἀνδρείως ἀθλήσας, τῶν δαιμόνων τὰς φάλαγγας διώλεσας, καὶ στεφανίτης ἄριστος γενόμενος, ἐν οὐρανοῖς ἀπολάβῃς τῶν ποθουμένων σοι.

Διὸ παρρησίαν πεπλουτηκὼς πρὸς Χριστὸν τὸν σὲ δοξάσαντα αἴτησαι ἱλασμὸν ἁμαρτιῶν ταῖς ψυχαῖς ἡμῶν.

Ἦχος β'

Ὡς ὁ Παῦλος ἐβόας ἐν τῷ σταδίῳ Νικόλαε, τὴν τοῦ Χριστοῦ μου ἀγάπην, οὐδὲν χωρῆσαι δυνήσει σαι, οὐ πῦρ, οὐ ξίφος, οὐ λιμὸς οὐδὲ θάνατος, ἀλλὰ πάντας ὡς σκύβαλα λελόγισμαι, ὅπως τῆς βασιλείας αὐτοῦ ἀξιωθήσομαι, καὶ γε-



νήσωμαι θείων ἀγαθῶν κληρονόμος, ὧν περ ἀπολαύωμεν συνεχέστερον, πρέσβευε Χριστῷ καὶ ἡμᾶς ἐπεντρυφῆσαι, ταύτην ἐν ὥρᾳ τῆς κρίσεως ἔνδοξε ἀθλητὰ πανεύφημε.

Ἦχος γ'

Ὡς ἀριστεὺς λαμπρότατος καὶ τῶν ἀγγέλων συνεφάμιλλος, ἐν παραδείσῳ μάρτυς διηνεκῶς αὐλιζόμενος, τὰ τῶν πόνων ἔπαθλα κομίζει, καὶ ζωὴν ἀντὶ θανάτου ἀΐδιον εὕρηκας, ὅθεν καὶ ἡμᾶς ὡς συμπαθὴς περιφρούρησον, ἐκ τῶν κινδύνων λυτρούμενος, καὶ ἐξ ἐχθρῶν ἀοράτων καὶ πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος πλ. δ'

Εὐφρανθήσονται ἔφη, γηγενεῖς δικαίου ἐπαινουμένου, Σολομὼν ὁ συνετώτατος, τούτου γὰρ ἡ μνήμη ἀθανασίας ὑπάρχει πλήρης, διὸ καὶ ἡμεῖς Νικόλαε μαρτύρων ἐκσφράγισμα λαμπρότατον, συναθροισθέντες ἐνθάδε, εὐφραινόμεθά σε γεραίροντες, καὶ πιστῶς σοι πάντες βοῶμεν δεόμενοι, ὁ τὸ πάθος τοῦ Κυρίου κατὰ δύναμιν μιμησάμενος, καὶ τὸ πῦρ μὴ δειλιάσας, ἱκέτευε καὶ ἡμᾶς ἐκ τῶν σκανδάλων ῥυσθῆναι, τῶν αὐτὰ κύκλωσιν ἐπιτιθεμένων, ὅπως σὲ κατὰ χρέος γεραίρομεν ὡς πλουτοῦντες σε ῥύστην καὶ πρόμαχον.

***Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ᾠδὴ Γ' καὶ Ϛ'.***

Τὸν Ἀπόστ. ζήτει Σεπτ. β'. Πρὸς Ῥωμαίους Ἐπιστ. Παύλου

Ἀδελφοί, οἴδαμεν ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν.

Τὸ Εὐαγγέλιον ζήτει Μαρτίου Θ' ἐκ τοῦ κατὰ Ματθ.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην, ὁμοιώθη ἡ βασιλεία τῶν Οὐρανῶν, ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωΐ, μισθώσασθαι ἐργάτας. Τέλος, ὀλίγοι δὲ ἐκλεκτοί.

***Κοινων. Εἰς μνημόσυνον.***

ΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΣΗΜΕΙΩΣΕΙΣ ΕΚΔΟΤΟΥ

Τοῦ ἐν τῇ παρούσῃ μελέτῃ 9ου ἀναφερομένου Νικολάου τοῦ ἐκ Χίου ἡ ἀκολουθία συντεθεῖσα ὑπὸ Νικηφόρου Ἱεροδιακόνου, εὑρίσκεται ἐν Νέῳ Μαρτυρολογίῳ. (πρβλ. καὶ Δουκάκη Συναξ. Ὀκτώβριος Ἀθ. 1895).

Ἡ παραπομπὴ (4) τοῦ 6ου ἀναφερουμένου Νικολάου τοῦ Καραμάνου δέον νὰ συμπληρωθῇ οὕτως (πρβλ. Χριστοφόρου Προδρομίτου Ὀνομαστικὸν Πανάγιον Ἐνετίῃσιν 1808).

Ὁ διασκευάσας πρῶτος τὴν ἀκολουθίαν ἀγνώστου συνθέτου Νικολάου τοῦ ἐν Βουνένοις τὸ πρῶτον ἐκδοθεῖσαν Ἐνετίῃσιν 1657 Ἱερομ. Ἀκάκιος Διακρούσης, εἶναι γνωστὸς καὶ ὡς διορθώσας καὶ ἐκδόσας τὸ Κυριακοδρόμιον Ἀγαπίου Μοναχοῦ Ἐνετίῃσιν (αχ . . . . ) (ἐφθαρμένη ἡ προμετωπίς). Προτάσσει τοῦ ἔργου μακρὰν ἀφιέρωσιν «Τῷ ἐντιμοτάτῳ καὶ χρησιμοτάτῳ ἐν ἄρχουσι Κυρίῳ Κυρίῳ Πάνῳ Ἱερομνήμονι τῷ ἐξ Ἰωαννίνων», ἐπαινεῖται δὲ ὁ ἄρχων διότι «ὁ πρὸς ἐμέσου ἔνθεος ἔρως τὸ πολὺ τῆς βοηθείας τὸ μέγα τῆς εὐσπλαγχνίας ὁποῦ ἐκ προαιρέσεως ἀπέδειξας . . . καὶ ὥσπερ σὺ πρῶτος εἰς τὴν τοῦ βιβλίου τύπωσιν ἐβοήθησας». Ἕπονται δὲ μακρὰ προλεγόμενα, καὶ ἐπίγραμμα εἰς τὸν ἄρχοντα Ἀρσενίου Ἱερομονάχου τοῦ Καλούδη.

Ὁ ἐν ἔτει δὲ 1736 διασκευάσας καὶ ἐκδώσας τὴν ἀκολουθίαν τοῦ ἰδίου Νικολάου τοῦ ἐν Βουνένοις ἐν Μοσχοπόλει Γρηγόριος Ἱερομ. Μοσχοπολίτης, εἶναι ὁ Γρηγόριος Κωνσταντινίδης ὁ κατόπιν Μητροπολίτης Δυρραχίου, ὅστις φέρεται ἐπινοήσας ἰδίαν γραφὴν δι' ἧς Παλαιὰν καὶ Νέαν Διαθήκην μετέφρασεν εἰς τὴν Ἀλβανικήν.

Οὗτος διεσκεύασε τὴν Ἀκολουθίαν τοῦ Ἁγίου Κλήμεντος Ἀρχιεπισκόπου Ἀχριδῶν (ἐν Μοσχοπόλει 1742), ὁμοίως τὴν Ἀκολουθίαν Ναοὺμ τοῦ ἐν Λιβανίσκῳ (ἐν Μοσχοπόλει 1740), ὁμοίως ἐποίησεν ἐπίγραμμα πρὸς τὴν Σύνοδον τῆς Ἀχρίδος, φέρεται δὲ καὶ ἐπιστολὴ αὐτοῦ πρὸς τον Λαρίσσης Ἰάκωβον ἀφιερωτικὴ προτασσομένη τῆς Ἀκολουθίας τοῦ Ἁγίου Βησσαρίωνος (ἐν Μοσχοπόλει 1744), ἑτέρας δὲ ἀκολουθίας εἰς Νικόδημον τὸν Ἐλμπασιώτην καὶ Ἁγιορίτην, καὶ εἰς τοὺς ἁγίους ἑπταρίθμους, ἴσως δὲ καὶ εἰς Βλαδίμηρον τὸν βασιλέα ἥτις φέρεται ἀνωνύμως.

Ἐπειδὴ δὲ φέρεται ὁ Γρηγόριος οὗτος ἀλλαχοῦ μὲν ὡς διορθωτὴς ἀλλαχοῦ δὲ ὡς τυπογράφος ὑπάρχει καὶ ἀμφιβολία μὴ τυχὸν ἦσαν δύο Ἱερομ. Γρηγόριοι πλὴν ἐν τῇ προμετωπίδι τῆς ἀκολουθίας τοῦ Ἁγίου Ναοὺμ ἀναγράφεται ***«διορθώσει*** τοῦ ἐν Ἱεροδιδασκάλοις Γρηγορίου τοῦ Μοσχοπολίτου τοῦ ***καὶ τυπογράφου»*** (ἐν Μοσχοπόλει 1740), ἐξ οὗ δῆλον ὅτι εἷς καὶ ὁ αὐτὸς ἦτο λόγιος Κληρικὸς παιδείας ἐξαιρέτου μετειληφώς. (πρβλ. Εὐλογίου Κουρίλα Μοναχοῦ Λαυριώτου νῦν Πρωτεπιστάτου Ἁγίου Ὄρους, Γρηγόριος ὁ Ἀργυροκαστρίτης ἐν Θεολογίᾳ τεῦχος Λ' 1930 σελ. 268).

Ὁ Σεβ. Μητροπολίτης πρώην Λεοντοπόλεως κ. Σωφρόνιος μὲ πληροφορεῖ ὅτι Νικολάου τοῦ ἐκ Καρπενησίου ἀκολουθία πλὴν τῆς ὑπὸ Καρυοφίλλη συντεθείσης καὶ δὶς ἐκδοθείσης, ὑπάρχει καὶ ἑτέρα ἐν χειρογράφοις τῶν Καυσοκαλυβίων Ἁγίου Ὄρους ποίημα Ἰωνᾶ Ἱερομονάχου τοῦ Καυσοκαλυβίτου Τὸν Ἅγιον ἀδελφὸν εὐχαριστῶ διὰ τὴν πληροφορίαν.

† Θ. κ. Φ. Ι.

# ΕΓΚΩΜΙΟΝ

## Εἰς τὸν νεομάρτυρα Νικόλαον τὸν νεοφανῆ, συγγραφὲν παρὰ τοῦ ἐν Ἱερομονάχοις ἐλαχίστου Δαμασκηνοῦ τοῦ Στουδίτου.

Πολλῶν ὄντων καὶ μεγάλων δι' ὧν ἐμαυτὸν ἐν τουτονὶ τὸν ἀγῶνα καθῆκα φιλέορτοι, ὑπέργε τὴν ἐμὴν ὄντα δύναμιν, ἓν μοι τῶν ἁπάντων τὸ καιριώτατον, ὅτι Θεῷ πειθείσας καὶ μάρτυρος Ἁγίου θεοπειθέσι δεήσεσιν, ἔπειθ' ὅτι εἰ καὶ μὴ νῦν τοῖς λόγοις χρησαίμην καιροῦ καλοῦντος καὶ αὐτῆς τῆς ἀληθείας ὑπερμαχούσης, μαρτυρικῶν τε ἄθλων προκειμένων, τίνι τῶν ἁπάντων χαρίσαιμι, οὕτω τῆς ἐμῆς οὐθενεὶ ἢ μᾶλλον εἰπεῖν ἀσθενείας ὑπεριδῶν, ὡς τὸν παρ' ὀλυμπιάσι δρόμον ὅ φασὶ καὶ χωλὸς ὢν βαδίσαι προείρηκαι.

Ἔδει μὲν γὰρ ἅτε λόγων ἀμαθία, καὶ παθῶν ἰλύϊ κατ' ἄμφω με κατεχόμενον ἀμέλει καὶ ποσὶν ἀνίπτοις χρώμενον, τὴν ἄδιψον ἐπασκεῖν σιγήν. καὶ μὴ πέραν τῶν Γαδείρων μή τε γε πεζῇ, ἀλλ' οὐδὲ πλωτῶς βαδίζειν· οὐδὲ τοῖς ἴσοις ἀνέμοις τρέχειν ἐπὶ τῶν ἀνθερίκων δυναμένοις, ἐν σταδίῳ συμπαραβάλλεσθαι· μᾶλλον γὰρ αἰσχύνην ἢ ἔπαινον ὀφλήσομαι. Ἐπεὶ δε οὗτοι οἵ τὴν ἐν λόγοις νίκην ἠλήχασι, καίτοι γε οὐ λόγοις ἀλλ' ἔργοις ὁ παρ' ὀλυμπιάσιν ἀγὼν πέφυκεν, οὐκ οἶδ' ὅπερ τῶν πολλῶν παθόντων σεσιγήκασιν, ἐμοὶ δὲ λέγειν οὐ τρέχει ἐφεῖται, ἀλήπταις αὐτοῖς χρησάμενος, τοῦ λέγειν ἀπείγξομαι.

Ἀλλά μοι Χριστοῦ νεομάρτυς Νικόλαε, σοὶ γὰρ ὁ παρὼν λόγος ἀνατίθειται, στήλης ὢν ἀψύχου μᾶλλον φανότερος, νικηφόρον με τοῦ σταδίου ἐκπέμψειαν· καί γε τοῖς παροῦσιν ἀθλοφόροι ἀνακηρύξειαν· ἐμοί τε γὰρ οὕτω χαριῇ τὰ μάλιστα τοῖς σοῖς ἀνδραγαθήμασι πειθήσαντι· καὶ σαὐτὸν τοῖς τε παροῦσι καὶ ὀψιγόνοις φαινότερον δείξεις.

Τοὺς μὲν οὖν πρὸς τοὺς ὀλυμπιακοὺς ἀγῶνας ἀναδυομένους ἀλιπταί τινες εἰώθεσαν ἐπαλείφειν ὡς τοῖς Ἑλληνικοῖς ὕθλοις ἐγγέγραπται· ὡσ' ἂν μὴ τοῖς ἀντικειμένοις παλαισταῖς ὦσιν εὔληπτοι· ἐγὼ δ' οὐκ ἐλαίῳ ἁμαρτωλοῦ τὴν κεφαλὴν

...ΙΟΣ ΒΙΒΛΙΟ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

λιπανθείς, ὃ καὶ τοῖς ὀστέοις διέρχεται τοῦ παρόντος ἀγῶνος ἅψομαι. Ἐπείπερ οὐδ' ἐν Ἤλιδι καὶ Πίσσῃ περὶ κοτίνου στεφάνου εὑρίσομαι· ἀλλὰ τῇ ἀληθείᾳ καθοπλισθεὶς ἣ μόνη πάντων ὑπέρκειται, τὰ τοῦ μάρτυρος ἐπεξιέναι κατάρξομαι· ἐπεὶ καὶ ἐν ἐκκλησίᾳ ὁσίων ὁ ἀγὼν ἡμῖν μαρτύρων δόξης ἕνεκα γίγνηται· εἰ καὶ τέως ἑνὶ τῶν καθ' ἡμᾶς χαριούμενος, τουτονὶ τὸν ἀνὰ χεῖρας λόγον συντίθημι· ὥσπερ γὰρ τοῖς ὀλίγον τοῦ τῆς θαλάττης ὕδατος πεπωκόσιν, ἡ ποιότης ἅπασα ἔγνωσται, οὕτως οἶμαι τινος τῶν μαρτύρων ἐπαινουμένου, πάντων κοινῇ πεφυκέναι τὸν ἔπαινον· ἀλλ' ὦ παρόντες, ἵνα τοῖς ἐν μέσῳ λόγοις, χαίρειν εἰπεῖν ἐπ' αὐτὴν ἤδη τὴν νύσσαν χωρίσω. Σύγγνωτέ μοι μικρὸν τῆς ὑπὲρ ἐμὲ ἐγχειροῦντι· καὶ πῶς ἀνεφίκτων ὡς οὐκ οἶδ' ὅπως ἐπιλαβομένῳ· σύγγνωτε καὶ δεήσεσι τὸν προκειμένον ἡμῖν εἰς εὐφημίαν λιτανεύσετε ἵνα τουτονὶ τὸν ἀγῶνα, καὶ τὸ παρὸν ἀκινδύνως τὸν λόγον διέλθω σκάδιον· ἤδη γὰρ τὴν τοῦ λόγου βαλβίδα σχασάμενος, ὅθεν ἄμεινον ἄρξομαι.

Τί δ' ἂν γένοιτο τῶν ἁπάντων ἄμεινον· ἢ τῶν διὰ Χριστὸν ἀθλησάντων μαρτύρων μεμνῆσθαι· καὶ λόγοις ἐγκωμίοις αὐτοῖς ἐκθιάζειν· πολλῶν γὰρ ὄντων ἑτέρων δι' ὧν ἡμεῖς πρὸς σωτηρίαν χειραγωγούμεθα, λέγω δὴ νόμου, καὶ λόγων προφητικῶν· μᾶλλον δὲ τῶν τοῦ Χριστοῦ Εὐαγγελικῶν προσταγμάτων, οὐδὲν ἔλαττον οἱ τῶν μαρτύρων ἀγῶνες, καὶ τὰ διὰ Χριστὸν σκάμματα, πρὸς τὴν τοῦ κρείττονος ἔφεσιν ἡμᾶς ἐρεθίζουσιν, ὃ δὴ τῶν ἁπάντων ἄμεινον. Οὗτοι γὰρ Χριστοῦ ὄντες μάρτυρες τοῦ πρώτου τῆς ἀληθείας καὶ τῆς τοῦ πατρὸς δόξης μάρτυρος, θυσίᾳ τε δεκτὴ καὶ τῆς ἀνθρωπίνης φύσεως ἀπαρχαί, τῆς κακίας εἰσὶν ἀναιρέται, καὶ τοῖς βουλομένοις πρὸς ἀρετὴν ἀλεῖπται· Πὰν τῷ μὲν οὖν μεμνῆσθαι βέλτιστον καὶ σωτηριῶδες, ἐπεὶ καὶ βασιλείας Οὐρανῶν ἐστὶ παραίτιον, οὐχ' ἧττον δὲ καὶ τοῦ νεοφανοῦς τουτουῒ μάρτυρος, ὅσο καὶ τῷ χρόνῳ τὴν μνήμην πρόσφατον κέκτηται· ἀλλ' ἐπειδὴ νόμος οὗτος ἐστὶ παρὰ πᾶσιν ἐπαινούμενος, ὅσος τοῖς ἐν τοιοῖσδε λέγειν νενόμιστο, πατρίδα τε καὶ γένος, τὰ τ' ἄλλα καθέκαστον διεξίεσθαι, χρὴ καὶ ἐμὲ ἑπόμενον τῷ νόμῳ ταῦτα πειρᾶσθαι σαφέστερον, καὶ οἷον ἄν τις φαίη καὶ συντομώτερον διελεύσεσθαι. Ἐὰν οὖν ἑώρων



τήν τε πατρίδα καὶ τ' ἄλλα τῶν τοῖς χαμαιζήλοις ἐπαινετῶν, τοῖς τοῦ Χριστοῦ μάρτυσι, μικρὸν μή τοι γε μέγα δόξης αὐτοῖς ἐπαύξονται· πάντα λίθον κινήσας κατὰ τὴν παροιμίαν, ἔλεγον ἂν εἴτι τούτων ἐντὸς ἐπαίνου καθέστηκεν. Ἐπεὶ δὲ τούτων οὐδὲν οἱ πάντες ἀπώναντο, ἀλλ' ἡ τῆς ὑπὲρ Χριστοῦ μέχρις αἵματος ἀγαπήσεως, τοῖς ἄλλοις μικρὸν ἐνδιατρίψας τῷ λόγῳ, ἵνα μὴ καὶ ταῦτα λήθης βυθῷ ἀπώλωνται, ἐπ' αὐτὸ τὸ τοῦ λόγου κεφάλαιον χωρήσομαι.

Νικολάῳ τῷ ἐν μάρτυσιν ἀρτιφανεῖ, πατρὶς μὲν ἦν ἡ παρὰ τῷ Ζάρηκι ὄρει κώμη πάλαι μὲν Ἰχθῦς ὀνομαζομένη νῦν δὲ τῇ τῶν χυδαίων φωνὴ Ψάρη προσαγορευομένη. Ἀλλ' ἴδωμεν εἰ δοκεῖ τίνι τῶν ἁπάντων αἱ πόλεις, εἰ καὶ μὴ παρὰ πάντων, ἀλλ' εἴ γε παρὰ πλειόνων ἐξάδονται· οἶμαι δεῖν ἐπαινεῖσθαι πόλιν, τρισὶ τούτοις στοιχείοις, ἀέρι γῇ τε καὶ ὕδατι· ὁ γὰρ αἰθὴρ ἅτε τὸν ὑπέρτατον τόπον λαχῶν, πᾶσιν ὁμοίως ἕν ἐστίν· καὶ μὴν γῆν εὔβωλον καὶ ἀρόσιμον, ἀέρας τε ἀκράτους. Ὡς μήτε τῶν ψύχει νεκροῦν, μήτε τῷ καύσωνι τήκειν, καὶ πηγὰς ὑδάτων ποτίμους καὶ εὐτραφεῖς, εἰ καί τις ἄλλη τῶν πόλεων, αὕτη πεπλούτηκεν· ἀλλ' οὐ τούτοις μᾶλλον αὕτη θαυμάζοιτο, ὅσον ἐπὶ τῷ τοιοῦτον ἄνδρα φῦσαί τε καὶ ἐκθρέψασθαι· ὧτ' οὐδὲν τῶν πόλεων διενύνοχεν· εἰ δὲ καὶ τείχεσιν αἱ πόλεις ὠχύρονται ἀλλά γε τῇ κακίᾳ τῶν κωμῶν ὑπέρκεινται· ἀλλὰ ταῦτα μὲν ἄλλοις παρίσομεν, οἷς τὸ περὶ τούτων λέγειν ἥδιστον· οὐ γὰρ ὁ τοῦ Χριστοῦ νεομάρτυς τούτοις ἀγλαΐζηται, ἄλλως τε ἵνα μὴ δόξωμεν, ἐκ τῆς σκιᾶς τὸν ἀνδριάντα θαυμάζειν, κ' ἐξ ὄνυχος τὸν λέοντα· ὃ δέ μοι καὶ λέγειν ὁ λόγος ἐπείγειται, οὔμενουν παραλήψομαι, ἔθνους γὰρ τοιοῦδε τε τύχηκεν οὗ τί ἂν γένοιτο τῶν ἁπάντων θειότερος, λέγω δὴ τοῦ χριστωνύμου· ἄλλων μὲν γὰρ ἄλλοις ἐπαινουμένων νόμοις· ἤθεσι· πόλεων τείχεσιν, ἀνδρείᾳ τῇ κατὰ πόλεμον· ἡμῖν εἷς ἀντὶ πάντων ἔπαινος, Ἰησοῦς Χριστὸς ὁ τοῦδε τοῦ ἁγίου ἔθνους ὑφηγητὴς πρώτιστος· ὃς τῷ οἰκείῳ αἵματι τοῦτο τῆς ἁμαρτίας ὠνησάμενος, λαὸν ἑαυτῷ περιούσιον ᾠκειώσατο· δι' οὗ καὶ τοῖς ἀποστόλοις πνεῦμα πέπονφεν· ὡσὰν τῇ τῶν γλωσσῶν ἑτερότητι τῆς πλάνης τοῦτο τελείως ἀπαλλάξας, εἰς ὃν νῦν ἐστὶν εὐσεβείας θέμεθλον ἀπερείσηται· καὶ μὴν Ἀθηναῖοι μὲν Κέκροπι καὶ

Λυκούργῳ Λακεδομόνιοι· καὶ Θὼθ Αἰγύπτιοι, καὶ ἄλλος ἄλλῳ τῳ τῶν ἐφημέρων ἀνδρῶν μεγαλείνονται· ἀλλά γε ἥν τι ἂν γένοιτο μεῖζον Χριστοῦ ἐγκώμιον.

Τοιοῦδε τοίνυν ἔθνους, οὗ κάλλιστον οὐδὲν οὔτε ποτ' ἐγένετο οὔτ' αὖθις γενήσηται ὁ μάρτυς τυχών, οὔμενουν καὶ γένους ἀσήμου κατήγετο, οὐδὲ γεννητόρων δυσκλεῶν ἐπέτυχε· καὶ γὰρ ὅτε πατὴρ αὐτοῦ Ἰωάννης ἥ τε μήτηρ Καλή, ἀμφότεροι χριστιανῶν παῖδες ὄντες, μᾶλλον τῆς εὐσεβείας ἀντείχοντο εἴ καί τις ἄλλος· πλουτοῦντες γεώδει καὶ τοῖς ὑλώδεσι πράγμασιν, οὐδόλως ἐναμβρινόμενοι· τῇ ὀρθοδόξῳ δὲ πίστει, καὶ τῷ τοῦ Θεοῦ θείῳ φόβῳ κοσμούμενοι· οὐ γὰρ αὐτοῖς μᾶλλον βίου ἤμελε θησαυρῶν, ὅσον τῆς τῶν Χριστοῦ ἐντολῶν τηρήσεως· ἀλλ' ἵνα τὸ πᾶν ἐν συντόμῳ συνελὼν εἴπω, ἐκ τοῦ καρποῦ τὸ δένδρον ἔσται γνώριμον καθὼς ὁ Κύριος ἔφησεν· ὁ γὰρ τῷ ὄντι τῆς ἀληθείας μάρτυς Νικόλαος, αὐτὸς αὐτοῖς καὶ κόσμος καὶ πλοῦτος καὶ ἔπαινος καὶ πᾶν ὅ φήσει τίς ἐστιν, ὅς τοιῶν δε γεννητόρων λαχών, ἔργοις τὸ γένος ἐκόσμησε· μάρτυς τῆς ἀληθείας χρηματίσας καὶ μέχρις αἵματος ἀγωνισάμενος· ἀλλ' ἵνα μὴ τὰ πάντα διεξιόντες, ἄλλοις οὐ παρίσωμεν ἐγκωμίων ὑπόθεσιν, ἐπ' αὐτὸν ἤδη τὸν μάρτυρα τὸν λόγον τρεπτέον· καὶ τὰ περὶ τούτου ὡς οἷόν τε διηγητέον· ἀλλά μοι προσέχετε τῷ λόγῳ τἀληθῆ διηγουμένῳ, ἵνα μὴ κενοὶ θείων λογίων τῶν ὧδε ἀπίητε. Χριστιανῶν ὡς ἔφθην εἰπὼν ὁ μάρτυς γονέων τυχών, οὐ μᾶλλον γάλακτι ἢ τῇ ὀρθοδόξῳ πίστει ἀνετρέφετο, ἐξ αὐτῶν ὡς εἰπεῖν τῶν μητρικῶν ὠδίνων, Θεῷ ἀνακείμενος· καὶ μὴν Σαμουὴλ μὲν ὁ ἐν προφήταις εἰ καί τις ἄλλος ἔνδοξος, Θεῷ πρὸς τῆς Μητρὸς Ἄννης ἀφιέρωτο, ἀλλ' οὐ τοσαύτης ἠξιώθη χάριτος, ὅστης ὁ μάρτυς Ἱερεμίας πρὶν γενέσθαι Θεῷ ἔγνωσται, καὶ μὴν οὐδὲν ἧσσον ὁ νεομάρτυς· τί μοι τοὺς καθέκαστον λέγειν, ἐξ ὧν τῷ πράγματι τἀληθῆ συνήρασθαι· πλὴν ἀλλὰ τοὺς γονεῖς τῷ δωδεκάτῳ ἔτει τῆς αὐτοῦ ἡλικίας ἀποβαλὼν ᾧ καὶ ἀνέκειτο Θεῷ μόνος ἀπελήφθη ἔνθεν τοι καὶ ὡς ἄλλος τις Ἀβραὰμ τῆς οἰκείας γῆς καὶ συγγενείας ἀπῆλθεν, μετανάστης ὑπὸ τοῦ καλοῦντος Θεοῦ εἰς Σηλιβρίαν γίνεται· πόλις δὲ αὕτη τῶν οὐκ ἀσήμων, ἡμέρας ὁδὸν ἀπέχουσα τῆς βασιλευούσης τῶν πόλεων· ἔδει γὰρ οὕτω τῇ τῶν



πόλεων Τριάδι, τὴν ἄκτιστον καὶ παναίτιον τιμηθῆναι Τριάδα, φῶς γὰρ ἀφ' ἧς ἔφημεν, καὶ τῇ Σηλιβρίᾳ τὰ πλεῖστα διατρίψας ἓν δέ γε τῇ Κωνσταντίνου πόλει τὸν ὑπὲρ Χριστοῦ καὶ τῆς ἀληθείας δρόμον ἀνύσας, οὕτω τὴν ἁγίαν Τριάδα ὁ μάρτυς τετίμηκεν· ἀλλ' ὅπως καθ' εἱρμὸν ὁ λόγος χωρῶν ἄληπτος ᾖ τοῖς ἀκούουσιν, ἔνθεν ἐρῶ τὰ καθέκαστον· Χριστιανός τις τῶν τῆς πόλεως Σηλιβρίας ἰδὼν ἤθους εὐσταλοῦς εὖ ἔχων τὸν μάρτυρα θείᾳ τε χάριτι κοσμούμενον, οἰκεῖον αὐτὸν ποιεῖται, καὶ κηδεμόνα τῶν οἴκαδε· ὁ δὲ τῷ τοῦ Θεοῦ θείῳ φόβῳ ἐπερειδόμενος καὶ συνέσει καλλυνόμενος οὕτως ἐπεμελεῖτο τῶν πιστευθέντων ὡς οὔπω τις τῶν ἑαυτοῦ· τί μοι τὴν φρόνησιν διηγεῖσθαι τοῦ μάρτυρος· ἧς καί τις ἄλλος ἔμπλεως ὢν ἔργῳ ταύτην δέδειχεν· ἐῶ τὴν σωφροσύνην οὗ κάλλιστον οὐδὲν ἐν ἀνθρώποις· τὴν τῶν παθῶν ἐγκράτειαν· τὴν πρὸς τοὺς πένητας ἐπιμέλειαν· τὴν τῶν ἐκκλησιῶν μέριμναν· τὴν πρὸς τοὺς τῶν τοῦ Θεοῦ μυστηρίων ὑπουργοὺς αἰδῶ· πρὸ πάντων καὶ ἐν πᾶσιν καὶ μετὰ πάντων τὴν τῆς Ὀρθοδόξου πίστεως φυλακήν· τούτοις τοῖς σεμνοῖς ἤθεσιν ἐκτραφεὶς καὶ εἰς μέτρον ἡλικίας πεφθακώς, νομίμῳ γυναικὶ συνεζεύχθη· ἐξ ἧς καὶ παίδων πατὴρ γενόμενος ἔχαιρε μετὰ τοῦ προφήτου· ἰδοὺ ἐγὼ λέγει καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός, ἀμέλει καὶ τῇ τοῦ κόσμου τύρβει συναυλιζόμενος, καὶ κοσμικαῖς ἐννοίαις ἐνασχολούμενος· ἦν γὰρ ἐν τῇ λεωφόρῳ πιπράσκων τὰ βρώσιμα οὐδόλως τῆς ἑαυτοῦ σωτηρίας ἠμέλει· ἀλλ' ὥσπερ ὁ χρυσὸς εἰ καὶ γῇ συγκαλύπτοιτο, οὐκ ἰοῦται, οὕτω δὴ καὶ ἡ τοῦ μάρτυρος λαμπροτάτη ψυχή, οὔμενουν ἐκ τῆς τοῦ κόσμου συγχήσεως ἠμαύρωτο· ἀλλὰ ταῦτα μὲν ἐᾶσαι ὡς πᾶσι δῆλα, ἐπ' αὐτὸ τὸ τοῦ λόγου κεφάλαιον ἥξομαι· καὶ ὅπως τὸν ὑπὲρ Χριστοῦ ὁ μάρτυς ἀγῶνα τετέλεκε διηγήσομαι· ἀλλ' ἄνωθεν τὸν λόγον ἀρκτέον.

Τέτταρας ἴσμεν βασιλεῖς τῶν Ἰσμαηλιτῶν ἐν τῇ τῶν πόλεων βασιλίδι προκατάρξαντας, τοῦ δὲ πέμπτου Σουλεϊμὰν τῇ σφῶν γλώττῃ ὀνομαζομένου, ἐν τῷ τριακοστῷ τετάρτῳ ἔτει τῆς αὐτοῦ βασιλείας, ὅτε δὴ καὶ τὸν ἑαυτοῦ μείζονα υἱὸν ἀπέκτεινεν, ἐν τῇ Περσίδι πανστρατὶ ἀποιχομένου πολέμου ἕνεκα τῷ βασιλεῖ Βαβυλῶνος, κατελήφθη Ἔπαρχος ἐν Κωνσταντινουπόλει, Σινὰν οὑτωσί πως ὀνομαζόμενος, ἄνθρωπος

μὲν ὢν τῇ φύσει, θηρίον δὲ μᾶλλον ἀγριότερος, ὡς τῇ τοῦ βασιλέως ἀγχιστείᾳ ἐπερειδόμενος, ἦν γὰρ ἀδελφὸς τοῦ τῆς βασιλείας Ἐπιτρόπου, ῥουστάνου τοῦ καὶ τὴν θυγατέρα τοῦ βασιλέως ἔχοντος, τυραννικῶς ἢ μᾶλλον εἰπεῖν ἀθέως ἐκράτει τῶν ὑπηκόων· ἄλλός τις Φαραὼ ζυγῷ δουλείας σκληρᾶς, τὸν νέον Ἰσραὴλ καταδουλούμενος· καὶ μήν· καὶ τὸν τοῦ Χριστοῦ μάρτυραΝικόλαον· οὑτωσὶ τετυράννηκεν. Ἐπεὶ γὰρ οὕτω δεινὸς ἦν χριστιανοῖς πᾶς τις τῶν βουλομένων ἀγαρηνῶν ὑπὲρ τοῦ τυχόντος εἰκαίου πράγματος χριστιανῶν ἐδικάζετο· διό τινες τῶν τῆς πόλεως Σηλιβρίας, ἐν ᾗ ἔφθημεν εἰπόντες οἰκεῖν τὸν μάρτυρα· ἀγαρηνοὶ τῶν κἂν τῇ λεωφόρῳ συγγειτνιαζόντων αὐτῷ, φθόνῳ βαλλόμενος ἅτε πλεονάκις ὁρῶντες αὐτὸν πιπράσκοντα τὰ ὤνια, καὶ γὰρ ἔθος τοῖς ἐν λεωφόρῳ ἀλλήλοις φθονεῖν, ψευδῆ συκοφαντίαν συνήραντες, ἀνάρπαστον ἐκ τῆς λεωφόρου πεποιήκασιν, ὡς τὸν ψευδοπροφήτην Μωάμεθ ὑβρίσαντα, καὶ ᾗ πόδας εἶχον εἰς Κωνσταντινούπολιν ἤγαγον, ἔνθα τῷ τοῦ Ἐπάρχου βήματι παραστήσαντες τοιούτοις ἐχρήσαντο ῥήμασιν. Ὑμῖν λέγοντες ὦ ἔπαρχε, οὐδενὸς οὕτω τῶν ἀπίστων μέλει, ὡς ἡ τῆς εὐσεβοῦς ἡμῶν πίστεως τιμῆς καὶ ὁ τοῦ Προφήτου Μωάμεθ ἔπαινος. Ἔνθέν τοι καὶ εἴ που τινὰ τῶν χριστιανῶν εὕροιμεν τὴν ἡμῶν πίστιν ὑβρίζοντα, πρὸς τὸ δημόσιον κριτήριον ἕλκομεν, πάντας μὲν οὖν ἀριθμεῖν τοὺς ὑφ' ἡμῶν ἕνεκα τούτου τιμωρηθέντας, μακρὸν ἂν εἴη· νῦν δέ σοι τουτονὶ τὸν ἀλιτήριον κεκομίκαμεν, ἅτε πλεῖον πάντων τὴν ἡμῶν πίστιν ὑβρίσαντα, καὶ τὸν νομοθέτην Μωάμεθ ἀπελέγξαντα, τοῦτον τοίνυν ἢ τάχος ἀπόκτεινον ἔπαρχε, ἢ οὐ φιλεῖς τὸν Θεὸν καὶ Μωάμεθ· τούτων ὁ Ἔπαρχος τῶν ῥημάτων ἀκηκοὼς μεθ' ὅσης ἄντις εἴποι τῆς ἀγριότητος, ἦν γὰρ ἀνέκαθεν κατὰ χριστιανῶν φονιῶν· τίσι ἔφη τῷ μάρτυρι τῆς τοσαύτης τόλμης αἴτιον ὦ κάκιστε· ὥς τε σε μηδὲν ὑποσταλέντα, οὐ βασίλειον ἀρχὴν οὐκ ἐξουσίαν ἡμῶν, οὐ τὸ παντέφορον ὄμμα οὕτω θρασέως καθ' ἡμῶν ἐνεχθῆναι ὥς τ' ἐφυβρίσαι μὲν ἡμᾶς, καὶ τὸν τοῦ Θεοῦ πιστὸν προφήτην Μωάμεθ· ἀλλὰ δὴ καὶ τὴν ἡμῶν θρησκείαν ὡς ψευδῆ ἀπελέγξαι. Ἀλλ' ἐνταῦθα μοι τὸ τοῦ μάρτυρος γενναῖον σκεπτέον, ὅ γὰρ ἄν τις ἔπαθεν ὑποσταλεὶς τῷ φόβῳ τοιοῦδε φονίου ἀνδρὸς τῷ τε ἤθει καὶ



τοῖς λόγοις ὠχριᾶσαι μὲν τῷ προσώπῳ ἐκκεκόφθαι δὲ καὶ τὴν φωνήν, τοῦθ' ὁ μάρτυς οὐ πέπονθεν· ἀλλ' οἷον ἄν τις εἴποι παρακαλούμενος οὐκ ἀπειλούμενος, οὕτω τῷ ἐπάρχῳ ἀπεκρίνατο· ἐμοὶ λέγων ὦ Ἔπαρχε οὐ ψεύδους μέλλει, ἀλλ' ἀληθείας· ἐπεὶ τὸ μὲν ἐκ τοῦ διαβόλου· ἤδ' ἐκ τοῦ Θεοῦ πέφυκεν· ἔνθεν οὐ φέρων τὴν μὲν ἀλήθειαν ὑφ' ὑμῶν ὑβριζομένην ὁρᾶν, τὸ δέ γε ψεῦδος τιμώμενον· τὸν μὲν Χριστὸν Θεὸν γινώσκων ἀληθῆ καταγγέλλω, τὴν δὲ ψευδῆ θρησκείαν ὑμῶν ἀδεῶς ἀπελέγχω· τοῦτο μοι τῆς ἧς σὺ φῂς τόλμης αἴτιον, οὐ γὰρ ἐγὼ τοῦτο τόλμην ἀλλὰ παρρησίαν ἀποκαλῶ· πρὸς τούτοις ὁ ἔπαρχος. Οὐκοῦν ἀληθῆ φασί μοι περὶ σοῦ μοι λέξαντες ὡς Χριστὸν Θεὸν εἶναι λέγεις, πνοὴν Θεοῦ παρὰ τῇ ἡμετέρα γραφῇ κηρυττόμενον. Τὸν δὲ τῆς ἡμῶν εὐσεβοῦς πίστεως καθηγητὴν ἀληθῶς προφήτην ὄντα ἀδεῶς υἱὸν διαβόλου ἀποκαμεῖν; ὁ μάρτυς ἔφη· καὶ μάλα γε ὦ ἔπαρχε· οὐ γὰρ οὐκ ἔστι τὸν μὲν ἥλιον φᾶναι σκοτινόν, τὴν δὲ νῦκτα φωτεινήν. Ἔστι γὰρ τῷ ὄντι ὁ μὲν Χριστὸς ἅτε δικαιοσύνης ἥλιος, φῶς καὶ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· ὁ δὲ τῆς ὑμῶν ἀπωλείας οὐ πίστεως καθηγητὴς Μωάμεθ, σκότος ὢν ἀφεγγές, πᾶσι τοῖς αὐτῷ ἑπομένοις, κρημνοῦ καὶ βαράθρων αἴτιος πέφυκεν. Καὶ γὰρ οὖν καὶ ὁ ἐμὸς ἔφη Χριστός, τυφλὸς τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθηνον ἐκπεσοῦνται. Ἔνθεν τοι καὶ ὑμεῖς τυφλῷ ἀνδρὶ πειθόμενοι, εἰς βυθὸν ἀπωλείας ἀπαξάπαντες ἐμπεσεῖσθε. Τούτων ὁ Ἔπαρχος ὡς ἤκουσε τῶν ῥημάτων, τοὺς ὀδόντας βρύξας τοῖς παρεστῶσιν ἐκέλευσεν ἐπ' ἐδάφους ῥίψαι τὸν ἅγιον, καὶ ῥοΐνοις ῥάβδοις ἱκανῶς ἀμφοτέροις τύπτειν τοὺς πόδας, μέχρις ἂν αἱμαχθέντας, μὴ δύνασθαι βαδίζειν· ἀλλ' ἐνταῦθα τοῦ λόγου γενόμενος, ὦ παρόντες ἐπέρχονταί μοι τὸ τοῦ προφήτου φᾶναι πεπληρῶσθαι καὶ τῷ μάρτυρι· βέλη γὰρ νηπίων λογιζόμενος ὁ γενναῖος τὰς τῶν ἀνδρῶν πληγὰς ἠγαλλιᾶτο τῷ πνεύματι, ὅπως τοιαύτης ἠξίωτο χάριτος· καίτοι μικρόν τις οὕτω τυφθείς, ἄλγοις μὲν τ' ἂν ἄξιον πάθειεν· πλὴν ἀλλ' ὑπενέγκοι τῇ τῶν παρόντων αἰδοῖ· ὁ δὲ οὕτω σφοδρῶς καὶ ἀμέτρως, οὐ γὰρ τῇ τῶν στρατιωτῶν πρὸς τὸν Ἔπαρχον χάριτι καὶ χερσὶ καὶ βίᾳ χρωμένων, αἱ τύψεις ἠρίθμηνται τοῖς ῥάβδοις αἰκισθεὶς ὡς καὶ τὰ

ἄκρα τῶν ποδιαίων ὀνύχων αἷμα ἀφίῃν, οὐμενουν λόγον τῆς ἑαυτοῦ γενναιότητος ἀνάξιον ἐφθέγξατο. ἀλλ' ὥς τις ἀδάμας, μήτοι γε σιδήρῳ ἀλλ' ἱμάσι τυπτόμενος, ἄθραυστος εἰσάπαν ἐστίν οὕτω δὴ καὶ ὁ μάρτυς εἰ καὶ τοῖς αἵμασιν ἅπας ἐφοινίασεν, ἀλλ' οὐδόλως τῆς εὐσεβοῦς παρεκτράπη πίστεως. Ἔνθέν τοι καὶ τῇ τοῦ Ἐπάρχου κελεύσει, τῇ εἱρκτῇ ἐναπέκλειτο, ἔθος γὰρ τοῦτο τυράννοις, οἵ ἐπειδὰν τοῖς βασάνοις ἀποκάμωσιν οὐδενὶ τῶν ἁπάντων ἔχοντες ἠρεμεῖν. Ταύτῃ μόνῃ τῆς σφῶν ἥττης ἀνάπαυσιν χρῶνται· ὅπερ οὖν κἂν τῷ Ἐπάρχῳ γέγονεν, οὐ γὰρ ἔχων οὕτω ταῖς ποιναῖς πεῖσαι τὸν μάρτυρα τῆς ὀρθῆς ἀποστῆναι πίστεως, εἱρκτῇ τούτων ἐγκλύσας, αὖθις εἰς ἡμέρας τέτταρας ἐποιήσατο τὴν ἐξέτασιν· δυοῖν γὰρ ὄν τοιν αἰτίοιν· τοῦ μὲν βασιλικοῖς ἀπαγγέλμασιν ὡς τὸν υἱὸν ἀποκτείναντος κρίνειν τὸν Ἔπαρχον εἴργοντος, τοῦ δέ, τοῦ τῆς εἱρκτῆς κατηφεία, μένειν τὸν μάρτυρα πείθοντος, οὕτω τὴν κρίσιν ἀνεβάλετο. Ἄλλος μὲν οὖν εἱρκτῇ καὶ σκότει· καὶ τί γὰρ ἔνεστιν ἐν εἱρκτῇ ἀγαθὸν προσομιλήσας, πέδαις τε κατ' ἄμφω χερσὶ καὶ ποσὶ πεδηθείς, στενάξειεν ἂν καὶ τὴν ψυχὴν ἀλγήσειεν· ὁ δὲ καὶ γὰρ Χριστοῦ τὴν ὄντως ἀγαλλίασιν εἶχεν ἔνοικον, οὕτως ἔχαιρε ὡς εἴν τις ἐν λειμῶνι ῥόδοις καὶ ἄνθεσι κατακώμην αὐλίζοιτο· ὡς δὴ καὶ τῷ προσώπῳ τὴν τῆς καρδίας εὐφροσύνην δεικνύειν, κἀντεῦθεν ἐκπληροῦσθαι τὸ Σολομόντειον· «καρδίας εὐφραινομένης λέγον θάλλειν πρόσωπον» [1]. Τί μοι τὴν ἐν εἱρκτῇ διηγεῖσθαι δοξολογίαν, πῶς δὲ καὶ τὴν πρὸς Θεὸν εὐχαριστίαν ἐξείποιμι· ἐῶ τὴν μετ' ἀγγέλων συνομιλίαν, τὴν τοῦ δεσπότου ἀπροϊδῆ παρουσίαν. Τἆλλα ἵνα μὴ καθέκαστον λέγων ἐπαχθὴς ὦ τοῖς ἀκούουσι· καὶ μὴν Ἠλία μὲν πεινῶντι κόραξ τροφῆς ὑπουργὸς ἦν· Νικολάῳ δὲ τῷ πανευφήμῳ ῥῆμα Θεοῦ ᾧ καὶ ζῆν ὁ Κόραξ ἔφησεν ἄνθρωπον ἔτρεφεν. Ἰακὼβ ἄγγελον εἶχε τῆς λύπης παρήγορον, ἀλλ' ὁ νεομάρτυς Χριστὸν τὸν τῶν Ἀγγέλων ποιητὴν ἐκέκτητο· ὃς καὶ πᾶν δάκρυον ἐκ προσώπου πάσης τῆς γῆς ἀφείλετο· ἀλλὰ γ ῆ ν μ ο ι τ α ῦ τ α π ε ρ ὶ δ ρ ῦ ν ἢ π ε ρ ὶ π έ τ ρ η ν· ἥξομαι γὰρ ὅθεν τὸν λόγον ἀπέλιπον· ἀλλὰ δέδοικα μὴ μακρηγορίας φεύγων γραφήν,

1. Σ Ε Τὸ ῥητὸν ἔχει οὕτως «Καρδίας εὐφραινομένης πρόσωπον θάλλει» Παροιμ. ΙΕ, 13.



ῥαθυμίας περιπέσω ἐγκλήματι· εἰ γὰρ βραχυλογίας ἐφάψομαι, δόξαιμι ἂν ῥαθυμίᾳ ἔχεσθαι. Ἔνθέν τοι τὸν λόγον ἐπιτεμῶν, ἀνελειπῶς τοῦ πίλοιπο διηγήσομαι· πρότερον ὑμῶν δεηθεὶς πρὸς τοῦ μάρτυρος ὡσὰν τοῖς λεγομένοις εὐνοϊκῶς πρόσχητε.

Τεττάρων ἡμερῶν διελθόντων ἀφ' ἧς ὁ μάρτυς τῇ εἱρκτῇ ἐπαπέκλειστο αὖθις ὁ τῆς τοῦ Μωάμεθ πλάνης ὑπέρμαχος Ἔπαρχος, τοῦ βήματος προσπαθήσας κελεύει τὸν ἅγιον τῆς εἱρκτῆς ἐκβληθέντα, παραστῆναι οἱ αἰταχθησόμενοι καὶ δὴ παραστάντα τῷ βήματι, τὴν τοῦ ἤθους ἀγριότητα εἰς θωπείαν μεταβαλών, ἦν γὰρ ὡς χαμαιλέων πάντα γενόμενος, πλὴν λευκοῦ, ταύτης λέγω τῆς λαμπρᾶς ἡμῶν πίστεως πείθων ἐπεχείρει· πολλὰ μὲν θἄτερα λέγων καὶ μὴν καὶ ταῦτα· ἐγὼ τῇ τοῦ βασιλέως ὦ ἄνθρωπε γνώμῃ πάντων πρoκριθεὶς πιστότατος εἶναι, ὑπελείφθην ὧδε τοῦ θρόνου καὶ τῆς πόλεως φύλαξ, λαβὼν παρ' αὐτοῦ τὸ ἐνδόσιμον, τοὺς μὲν ἀγαθοὺς ἐπαινεῖν, τοὺς δὲ κακοὺς τιμωρεῖν· καὶ γὰρ οὕτω Θεῷ καὶ νόμοις καὶ βασιλεῖ προσῆκον ἐστί· πάντων μὲν οὖν ἔγωγε τῶν τὰ δεινὰ δρώντων ἀνδρῶν φεισαίμην· τοῦ δὲ δὴ τὴν ἡμῶν πίστην ἐφυβρίσαντος οὔτ' αὐτὸς οὔτ' ἄλλος φήσαιτο· ἔνθεν ἐπεὶ σὺ τὸν ἡμῶν προφήτην ἀπείλεγξας, ὄντως ὑπεύθυνος τοῖς νόμοις εἶ· διὸ καὶ τὴν δικαίαν ψῆφον ἣν ἡμῖν ὁ θεῖος ἐκεῖνος νομοθέτης ἐνέθηκε πυρὶ μέλλῃς τεθνᾶναι· ἀλλά μοι συμβούλῳ χρησάμενος ἀγαθῷ αἰδέσθητι τοὺς παρόντας, οἴκτειρον τὴν σὴν γυναῖκα, πρὸ πάντων δὲ τοὺς σοὺς παῖδας, ὀρφανοὺς λειπομένους, φεῖσαι τῆς σῆς ἀώρου τελευτῆς, φεῖσαι τῶν παρόντων ἀγαθῶν, βίου· χρημάτων· κτημάτων· οἴκου· φίλων· συγγενῶν· συμφυλετῶν· μετὰ πάντων τῆς σε αὐτοῦ ζωῆς, καὶ ἐλθὼν γενοῦ τῆς ἡμῶν εὐσεβοῦς πίστεως μέτοχος· τίμησον τὸν προφήτην Μωάμεθ, ἀπόστα τῆς τῶν Χριστιανῶν ματαίας πίστεως, καί σοι Θεὸν ἵλεων ἕξεις ἐφ' οἷς πρότριτα βλασφημίας ἥμαρτες· ἀλλὰ δὴ καὶ ἡμεῖς σοι χάριτας ὅτι πλείστας παρέξομεν· τοῦ γὰρ παρὰ τοῦ βασιλέως, νῦν οἰκοδομουμένου πτωχοτροφίαν ἔφορόν σε ποιήσαντες, τιμῶν μεγίστων ἀξιώσομεν· ἀλλὰ δὴ καὶ τοὺς σοὺς παῖδας ἀγαρηνοὺς μετὰ σὲ γενομένους ἡ βασιλεία μέχρι θανάτου διαθρέψει, καί γε βασιλικῶν ἀξιωμάτων ἀξιώσει.

Τούτων μὲν οὖν καὶ ἔτι μειζόνων ἀγαθῶν ἐπιτεύξει ὦ ἄνθρωπε τοῖς ἐμοῖς πεισθεὶς ῥήμασιν· εἰδ' ἀπειθὴς ὤν, ἔτι τῆς πρώτης ἀντέχει γνώμης· καὶ τοσούτων ὄχλων παρόντων αὖθις τὴν ἡμῶν πίστιν ἀπελέγξας γνώσῃ μὲν οἵων βασάνων πειραθήσει· γνώσῃ δὲ καὶ τὴν ἐμὴν ἐξουσίαν· ἀλλ' ἐκτὸς μὲν ὄντισι τῶν βασάνων καὶ πειθομένῳ χάρις εὖ ἴσθι κείσετε· ἡνίκα δὲ τῆς σῆς ἀπονοίας ἄξια παθῶν, ἐπιστρέψεις μικρὸν ἢ οὐδέν σοι παρέξομεν διὸ προλαβῶν τῶν βασάνων τῆς ὀρθῆς ἡμῶν πίστεως αἵρεσιν ῥῦσαι σαὐτὸν τῆς διὰ πυρὸς χαλεπῆς τιμωρίας· ἄλλο δέ σοι εἴπω, καὶ σύ μοι τῷ λόγῳ πρόσχου· μὴ δόκει ὡς ἀθρόως τῷ πυρί σε καταναλώσομεν· ὡς συντόμως σοι γενέσθαι τὸν θάνατον, ἀλλὰ κατὰ μικρὸν τῇ φλογὶ δαπανήσαντες δριμυτέραν οὕτως τὴν τιμωρίαν ἐργασόμεθα· ἀλλ' ἀπόκρινον ἡμῖν ὃ σοὶ δοκεῖ· παρ' ἡμῶν λαβὼν τὸ τοῦ λέγειν ἐνδόσιμον. Ταῦθ' ὁ Ἔπαρχος ἔλεγεν· ὁτὲ μὲν δοκῶν παραινεῖν, ὁτὲ δὲ προσαπειλεῖν· ὁ δὲ τοῦ Χριστοῦ γενναῖος Μάρτυς, ἆρα πρὸς τὴν ἀπόκρισιν ἐβράδυνεν ; ἆρα πρὸς τὴν ἀπάντησιν ἐδίστασεν ; ἆρα μικρὸν ἢ μέγα πτοηθεὶς τὸν Ἔπαρχον οὐκ εἶχεν ἀντειπεῖν ; Οὖμενουν· ἀλλὰ τῇ τοῦ Χριστοῦ δυνάμει ἀμάχῳ ὑπερμάχῳ χρησάμενος, ταῦτα πρὸ αὐτοῦ ἀπεκρίνατο· ὅτι μὲν ὦ Ἔπαρχε πρὸς τοῦ βασιλέως φύλαξ τῆς πόλεως καὶ τοῦ Θρόνου λέλειψαι, ἴσμεν ἁπαξάπαντες· οὐ μὴν ἀδίκως θανατοῦντες ἀθώους· σὺ μὲν γὰρ τοὺς κατὰ σὲ τῇ πλάνῃ τοῦ Μωάμεθ ἑπομένους, ἀθώους εἶναι φὴς τιμωρίας· ἡμᾶς δὲ τοὺς τὴν ἀλήθειαν γυμνῇ τῇ κεφαλῇ λέγοντας καὶ τὸν Χριστὸν Θεὸν ἀποκαλοῦντας, ἀξίους εἶναι φὴς θανάτου· ἀλλ' οὐχ' οὕτω τ' ἀληθὲς ἐστίν· ἂν γὰρ τὸ περὶ τοὺς τῆς σῆς καρδίας ὀφθαλμοὺς ἕλῃς κάλυμμα, ὄψῃ χριστιανοὺς μέν, ἀθώους ὄντας θανάτου, ἀγαρηνοὺς δέ, μυρίων ἀξίων κολάσεως· πλήν ἀλλ' ἐπεὶ τιμωριῶν ἀξίους εἶναι φῇς χριστιανοὺς τοὺς τὸν ψευδοπροφήτην ἐλέγχοντας, ἔστωσαν εἰ δοκεῖ θανάτου ἄξιοι· τίνων οὖν ἀφαιροῦνται θανατούμενοι· ζωῆς ; καὶ μὴν ζῶσι ἐν Κυρίῳ εἰς αἰῶνας ἀπειραπλέτως ἀγαλλόμενοι· παίδων ; καὶ μὴν εἰ ἀγαθῶν αὖθις τούτων ἐν οὐρανοῖς ἀπολαύουσιν· εἰ δὲ κακῶν εὖγε τῆς ἀποβολῆς· φίλων ; καὶ μὴν ἀγγέλων μυρίων φίλων ἀντάξιος· πόλεων ; καὶ μὴν Ἱερουσαλὴμ τῆς Οὐρανίου μητροπόλεως.



ἧς τὰ τείχη ἐν ταῖς ἀχράνταις χερσὶ τοῦ ἀοράτου Θεοῦ ἐζωγράφηνται· τίς ἂν γένοιτο πόλις ὀχυρωτέρα· πλοῦτον ; χρημάτων ; κτημάτων ; οἴκων ; καὶ μὴν τούτων φθαρτῶν ὄντων ἀπαλλαγέντες, ἀφθάρτων ἐπιτυγχάνουσι· τί μοι τὰ καθέκαστον λέγειν· πάντων τῶν ἐνθάδε τιμῶν πολλῷ κρειττόνων ἐν οὐρανοῖς ἀπολαύσειεν, οἵ ὑπὲρ Χριστοῦ ἑαυτὸν τῷ θανάτῳ πρόηται· δεῖ γὰρ οὕτω τὰ ἐν Οὐρανοῖς πολλῷ τῶν παρ' ἡμῖν εἶναι κρείττονα· διὸ κἀγὼ οὔτε παίδων οὔτε γυναικὸς οὐ χρημάτων οὐ κτημάτων οὐδενὸς τῶν ἁπάντων φεισάμενος Ἔπαρχε, τῆς ὑμῶν θρησκείας μέτοχος ἔσομαι· οὐδὲ τὸν ψευδοπροφήτην Μωάμεθ τιμήσω· οὐδ' ἂν τῆς εὐσεβοῦς τῶν χριστιανῶν ἀποστήσομαι πίστεως· τί μοι πλοῦτος, τί μοι δόξα, τί μοι ἀξία, τί μοι ἡ παρ' ὑμῶν τιμή, τίμοι χρήματα, τί μοι κτήματα, πάντα κόνις, πάντα σκύβαλλα, πάντα μοι ὡς καπνὸς λελόγισται· ὑμεῖς οἱ τῆς ἀπωλείας υἱοί, οἱ τοῦ πονηροῦ ἐκείνου δούλου ἀκόλουθοι, ταῦτα ἐπιζητεῖτε· ἐμοὶ Χριστὸς πλοῦτος, Χριστὸς ἐμοὶ ζωή, Χριστὸς ἐμοὶ ἔρως, Χριστὸς ἐμοὶ Θεός, Χριστὸς ἐμοὶ τὰ πάντα ἐν πᾶσιν· οὐδέν με τῆς αὐτοῦ ἀγάπης χωρίσαι πώποτε· οὐ πῦρ· οὐ ξίφος· οὐ λιμός· οὐ κόσμος· οὐ πλοῦτος, οὐ βάθος, οὐχ ὕψος, οὐκ ἐνεστῶτα, οὐ μέλλοντα· οὔτε τις καὶ ἑτέρα κτίσις· ἀλλὰ μέχρι τῆς ἐμῆς ἐσχάτης ἀναπνοῆς· εἰ καὶ δι' ὀξείας δεῖ δραμεῖν, κἀπὶ κερβερείους βαδίσαι· εἰ καὶ θανάτους μοι μυρίους ἐνείκοιτε, ὑπὲρ τῆς ἐμῆς πίστεως ἀγωνίσομαι· ὡς ἂν οὕτω τῆς τοῦ Χριστοῦ μου βασιλείας ἐπιτυχών, εἰς αἰῶνας αἰώνων εὐφραίνωμαι. Ταῦτα παρὰ τῆς ἐμῆς γλώττης ἀκηκοὼς Ἔπαρχε, ποία ὅ,σοι δοκεῖ· τέμνε, σφάττε, καῖε, θῦσον πυρί, μεληδὸν διαίρει, ἀνηλεῶς τιμώρει, ἀπηνῶς αἴκιζαι, ἀφειδῶς κόλαζαι, ἐμὲ γὰρ ὅλως οὐκ ἀποστήσεις τῆς τῶν χριστιανῶν εὐσεβοῦς πίστεως.

Ταῦτα σου Νικόλαε τὰ τῆς ἀνδρείας ἰνδάλματα, ταῦτα τοῦ πρὸς Θεὸν ἔρωτος τὰ γενναῖα ἀποφθέγματα· ταῦτα ἤσχυνε μὲν τὴν τοῦ Ἐπάρχου θρασύτητα· πολλῷ δὲ μᾶλλον ἐνέκοψε τὴν τῶν λόγων ταχύτητα· οὐ γὰρ ἔτι τῷ τῆς ἀλώπεκος ἠμφυέννυτο δέρματι· ἀλλὰ τὴν τοῦ προβάτου δορὰν ἐκδεὶς λεόντειόν τε θράσος ἀναβαλλόμενος, πρὸς τιμωρίαν ἐχώρει τοῦ μάρτυρος· καὶ δὴ κελεύει τοῖς δημίοις ἐξελεῖν

ΠΑΛΛΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

μὲν ἅπερ ἠμφιέννυτο περιθεῖναι δὲ φορμὸν τῇ σαρκὶ τοῦ μάρτυρος· καὶ οὕτω δυσὶν ἁλύσεσι τοῦ τραχήλου ἀγχόμενον, περιάγεσθαι τὴν λεωφόρον ἅπασαν, κἀντεῦθεν κηρύσσειν ὡς ὁ τὸν Μωάμεθ ὑβρίζων. Οὕτω ποιναῖς εὐθυνθήσηται· ὃ δὴ καὶ θᾶττον λόγου γέγονε τῶν γὰρ δημίων ἢ τάχος εἶχον ἀποδυσάντων τὸν μάρτυρα καὶ τἄλλα δρασάντων, περιήγετο φαιδρῷ τῷ προσώπῳ τὴν λεωφόρον ἑλκόμενος· καὶ μὴν ὀλυμπιονίκαν μὲν ἀθλοφοροῦντες περιάγονται θεατριζόμενοι, ἀλλ' οὐδὲν τούτου κερδαίνουσιν.

Ὁ δὲ τοῦ Χριστοῦ ἀθλοφόρος Νικόλαος εἰ καὶ τῷ φερμῷ ἐθριαμβεύετο, ἀλλ' οὖν βασιλείας ἀφθάρτου ἠξίωται· πλὴν ὅσον οἱ μὲν μηδὰ τὸν θρίαμβον ἀπολύονται· ὁ δὲ μείζονι τυραννίδι κατεδικάσθη. Ἐπεὶ γὰρ ἰσμαηλίταις νόμος οὗτος ἄθεος ἔνεστι· πυρὶ τεθνᾶναι τὸν τὴν θρησκείαν αὐτῶν ἐφυβρίσαντι· ὡς μὴ δ' ὀστοοῦν ἁγιασμοῦ χάριν ἀποληφθῆναι τοῖς μετέπειτα, οὗτος καὶ τῷ μάρτυρι ὥριστο· καὶ δὴ πυρᾶς σφοδρᾶς, ὡς καὶ τῇ θέᾳ μόνῃ μήτοι γε τῇ προσψαύσει φοβεῖν τοὺς παρόντας ἐν τῷ τῆς πόλεως ἀναφθείσης ἱπποδρομίῳ ἐν αὐτῇ τὸν ἅγιον ἧλκων οἱ τῆς ἀσεβείας ὑπασπισταί, οὐκ ἐρίζοντα ὅλως οὐδὲ κραυγάζοντα· ἀλλ' ὥσπερ τις ἀμνὸς ἄκακος ἐναντίον τοῦ κείροντος ἄφωνος ἵσταται, οὕτω δὴ καὶ ὁ τοῦ Χριστοῦ μάρτυς Νικόλαος ἀπονητὶ τοῖς ἕλκουσιν ἧλκετο· Χριστον ἐν τούτῳ μιμούμενος, ὑπὲρ οὗ καὶ θανεῖν προείλετο· ὁ δὲ τῆς ἀληθείας ἀντίπαλος ἔπαρχος πρὸς ἑαυτὸν ἐκαλέσατο τὸν ἅγιον μικρὸν ἄπωθεν τῆς πυρᾶς πείθεν ἐπεχείρει· μή σοι γε λέγω ἐν τοσοῦτον ἀνοίας ὄλισθον ἐμπέσης Νικόλαε ὡς τῆς παρούσης ζωῆς ἀλογίσαι· ἧς οὐδὲν ἐν κόσμῳ ἡδύτερον· μὴ δὲ τῆς σεαυτοῦ γυναικὸς καὶ παίδων ὑπεριδὼν ἀθλίως οὕτω προδῷς τὸ σῶμα τοῖς αἰκίζουσιν· ἀλλ' ἴθι συμβούλῳ χρησόμενος τῇ γυναικὶ ἐδόκει γὰρ αὐτὴν φιλοψυχῆσαι τῇ τοῦ μάρτυρος τελευτῇ· καὶ προσελθὼν γενοῦ μεθ' ἡμῶν τῆς τοῦ Μωάμεθ δόξης ἀκόλουθος· ὡσὰν βασιλικῶν ἀμφότεροι τιμῶν ἐπιτεύξησθε· ταῦθ' ὁ μάρτυς ἀκηκοώς, ἦν γὰρ παρὰ τῆς αὐτοῦ γυναικὸς πρὸς τὸν ὑπὲρ Χριστοῦ θάνατον ἐπιρρωννύμενος, ὅτε τῇ εἱρκτῇ ἐφρουρεῖτο, ἐμοὶ ἔφη, ὦ Ἔπαρχε, οὐδενὸς ἔτι τῶν ἁπάντων μέλλει· οὐ γυναικός· οὐ παίδων· οὐ ζωῆς προσκαίρου· ἀλλ' ἢ τὸ ἀναλίσαι καὶ



σὺν Χριστῷ εἶναι· διὸ μή μοι τὴν παροῦσαν ὥραν ἀπήλει· ἐγὼ γὰρ ταύτην χαρὰν ἥγημαι· ἔνθέν τοι τοῖς λόγοις ἐῤῥῶσθαι φράσαι· χώρει πρὸς ὅ βούλοιο. Τούτων ὁ ἀνιλεὴς ἐκεῖνος ἔπαρχος ἀκούσας ῥημάτων, κελεύει τοῖς δημίοις πλησίον τῆς πυρᾶς ἕλξαι τὸν ἅγιον· κἐντεῦθεν κατὰ μικρὸν τῇ φλόγὶ δαπανᾶν· ὡς ἂν οὕτω τῇ κολάσει ἀπειπὼν τῆς τῶν χριστιανῶν εὐσεβοῦς ἀποστῆ πίστεως· ἀλλ' εὖγε τῆς ἀνδρείας τοῦ μάρτυρος, οἷα γάρ τις χρυσὸς ἐν χωνείᾳ πυροπολούμενος τηλαυγέστερον γίγνηται, οὕτω δὴ καὶ ὁ μάρτυς κατὰ μικρὸν τῇ φλογὶ δαπανώμενος, γενναιότερος ἐδείκνυτο· πολλῶν γὰρ αὐτὸν παρακαλούντων τῶν τὴν βασίλειον ἀρχὴν διεπόντων, πεισθεῖναι τοῖς τοῦ Ἐπάρχου ῥήμασιν, οὔμενουν ὁ μάρτυς ἐνέδωκε τοῦ φρονήματος· ἀλλ' εἰ καὶ τὸν περὶ ψυχῆς ἀγῶνα διήνυσεν, ὅμως ἔτι σταθερῶς τῆς εὐσεβοῦς δόξης ἀντείχετο, ὡς ἐλέγχειν μὲν τῆς ἀσεβείας τὸν Ἔπαρχον· κηρύττειν δὲ διαπρυσίως τὸν Χριστόν· μέχρις ὅτου τῇ τοῦ πυρὸς ἐνδόντος σφοδρότητι, ἄνθρωπος γὰρ ἦν εἰ καὶ ὑπὲρ ἄνθρωπον ἔπασχεν. Ἐπὶ δεξιοῖς τε προσκλίναντος, ὁ σπεκουλάτωρ ἁλύσεις τείνας, ἣν γὰρ αὐτὰς ὁ μάρτυς ἔτι τῷ τραχείλῳ περικείμενος, ξίφει τὴν ἁγίαν αὐτοῦ κεφαλὴν ἀπέτεμε· Τεσσαρεσκαιδεκάτων μηνὸς ἐλαφηβολιῶνος ἕλκοντος. Ἀλλά μοι γνωστέον τὴν τῶν ἀθέων ἀγαρηνῶν σκαιώδη θρασύτητα δεικνῦντες γὰρ μηδὲν τοὺς μάρτυρας τῆς ὑπὲρ Χριστοῦ ἀθλήσεως ἀπώνασθαι, ὅσον καὶ τοὺς κῦνας καιομένους εἰκῆ, φύρδην ὀστὰ κυνῶν τοῖς μαρτυρικοῖς ἐπικαίουσιν ὅπερ ἤδη κἂν τῷ μάρτυρι Νικολάῳ πεποιήκασιν. Ἐπεὶ γὰρ ἤμελε τῇ φλογὶ δαπανηθῆναι τὸ σύνολον κυνῶν ὀστᾶ τεθνηκότων ἐγείραντες, ἔστι δὲ οὕς καὶ θνησιμαίους, τῇ πυρᾷ ἐναπέρριψαν. Ἔνθεν τοι τὸ τοῦ μάρτυρος σῶμα τῷ πυρὶ καταναλωθέν, ὡσεὶ σποδὸς ἐγένετο· ἀλλ' ἐπεὶ καὶ ἡμῶν ἐπεμελεῖτο τὸ τοῦ θεοῦ παντέφορον ὄμμα, ὡσάν ἁγιασμοῦ μαρτυρικῶν λειψάνων μὴ ὦμεν ἀμέτοχοι, ἡ τιμία κάρα ἣν ἔφθην εἰπὼν ἐκτμηθῆναι, παρά τινος τῶν πιστῶν ὠνηθεῖσα, διεσώθη τῆς πυρᾶς· κἀντεῦθεν ἀποσταλεῖσα τῇ τοῦ θεοφόρου πατρὸς ἡμῶν Ἀθανασίου μονῇ τῇ ἐπικεκλημένῃ Μετεώρῳ, μόνη τοῦ παντὸς σώματος λέληπται· φέρε δὴ πολλῶν ἐν τοῖς πάλαι καιροῖς γεγονότων μαρτύρων, παρ' ἐκείνοις

τὸν ἡμέτερον θεωρήσαντες, ἐντεῦθεν τὸν μάρτυρα γνωρίσομεν. Γεώργιος ὁ ἐν τοῖς μάρτυσι περιφανής, εἰ καί τις ἄλλος μέχρις αἵματος καὶ θανάτου ὑπὲρ Χριστοῦ στερρῶς ἀγωνισάμενος βασιλείας οὐρανῶν ἠξίωται. Καὶ μὴν Νικόλαος οὐδὲν ἧσσον ἠγωνίσατο· εἰδὲ καὶ βασάνων βραχυτέρων πεπείραται, ἀλλ' οὐ διὰ τοῦτο ὑπεροπταῖος· Ἐπεὶ καὶ Δημήτριος ὁ μόνος ἐν μάρτυρσι μυῤῥορόας οὐ πολλῶν, τιμωριῶν πεπείραται, ὅμως δ' οὖν ἑτέρων ὑπέρκειται. Μερκούριος ὁ πανένδοξος πυρὶ καὶ ξίφει προσομιλήσας, χαρᾶς Οὐρανίου ἀπήλαυσε, ἀλλὰ μὴν καὶ ὁ νεομάρτυς οὑτωσὶ παραπλήσια πέπονθεν· Ἀρτέμιος ὁ πανεύφημος ξίφει τὴν κεφαλὴν ἐκτμηθεὶς τιμῆς ὅσης πλείστης πρός τε Θεὸν καὶ ἀνθρώποις ἠξίωται, ἀλλὰ μὴν καὶ ὁ νεοφανὴς μάρτυς Νικόλαος οὐδ' ἧσσον τὴν κάραν ἐκτέτμηται· οὐ τοίνυν μεῖόν αὐτῶν ἐστίν, εἰ καὶ τῷ χρόνῳ ὕστερος. Ἐπεὶ πρὸς ἴσα τῆς ἀθλήσεως κεχώρηκε σκάμματα, ἐῶ Νέστορα λέγειν· παραλείπω Προκόπιον, ἀφίημι Θεόδωρον, ἵνα μὴ τοὺς καθέκαστον λέγειν μηκύνω τὸν λόγον· πλὴν ἀλλὰ τοὺς μὲν ἐζήλωσε, τοὺς δὲ ἡμιλλήθη, τῶν δὲ οὐκ ἀπελήφθη, ἔστι δὲ καὶ οὓς ὑπερέβαλε, σὺν οἷς ἄρτι τῶν ἐσόπτρων λυθέντων, ὃν ἐπόθει Χριστὸν ἐποπτεύει τρανότερον, ἡμῖν μὲν εὐετηρίαν ἐπειχόμενος· ἑαυτῷ δὲ τὰ κάλλιστα ποριζόμενος. Ταῦτα σοι παρ' ἡμῶν ὦ νεόμαρτυς γέρα τῆς ἀθλήσεως, Ὀλυμπιακοῦ κοτίνου καὶ πυθικῶν μήλων τιμιώτερα Νεμαίας τε σελήνων, καὶ Ἰσθμικῆς πίτυος ἐνδοξότερα· οὗτος σοι παρ' ἡμῶν ὁ στέφανος λογικὸς μὲν ἀλλ' ὅμως οὐκ ἄξιος εἰσάπαν τῆς σῆς κεφαλῆς, αὗται σοι τῶν ἐμῶν λόγων αἱ ἀπαρχαί, στήλης ἀψύχου μᾶλλον οὖσαι φανότεραι· ἐπεὶ ἡ μὲν ἐν ἑνὶ τόπῳ ἑστῶσα, μικρὸν στηλιτεύει τὸν ἔπαινον, αἱ δὲ εἰ δεῖ φᾶναι μέχρι τερμάτων γῆς ἀφήξονται· καί σε τοῖς τε παροῦσι καὶ ὀψιγόνοις ἀθλοφόρον ἀνακηρύξουσι.

Ταῦτά σοι παρ' ἐμοῦ ἀνθ' ὧν εὐηργέτημαι δεδώρηται· ἀλλ' εἰ μὲν τῆς δωρεᾶς ἐγγύς, σοὶ τοῦτο χάρις, σοὶ γὰρ θαρρῶν τὸν περὶ σοῦ λόγον συντέθηκα· εἰ δὲ πόρρω καὶ πάρα πολὺ τοῦ δωρήματος, τί χρὴ παθεῖν, ἀμαθίᾳ λόγων κατεχόμενος καὶ παθῶν ἰλύϊ καλυνδούμενος· πλὴν ἀλλὰ Θεῷ φίλον τὸ κατὰ δύναμιν· ὃς καὶ ἐρίων οὐχ ὑπερίδεν ἐν τῇ τῆς



σκηνῆς τοῦ μαρτυρίου κατασκευῇ· καὶ χήρας δύο λεπτὰ προσεδέξατο· οὐδὲ ἡμᾶς ἄνωθεν ἐποπτεύοις ὦ νεομάρτυς καὶ νῦν μὲν τῇ πρὸς Θεόν σου ἐντεύξεσι κατευνάσαις τὴν τῶν παθῶν ἀγριαίνουσαν θάλατταν· στήσαις δὲ καὶ τὸν σάλον τῶν λογισμῶν πρὸς δὲ καὶ ζωὴν εὔθυμον δώῃς παντὸς ἀνιαροῦ πάθους ἀμέτοχον· εἰ δὲ καὶ μετασταίημεν τῶν ἐνθάδε, δόξαιο ἡμᾶς ἐν ταῖς οὐρανίαις σκηναῖς· ὡσὰν οὕτω τὰς ἐν τῇ Θεοῦ καὶ πρὸς βασιλείᾳ πολλὰς μονὰς πληρώσαντες κατὰ τὸ μέτρον τῆς κατὰ δύναμιν ἀρετῆς, δόξαν ἀναπέμψωμεν Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν· ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ μεγαλοπρέπεια, σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

Ἀκολουθία εἰς τὸν νεομάρτυρα Νικόλαον ὃν μαρτυρήσαντα ἐν Κωνσταντινουπόλει πυρὶ ἐπὶ ἔτους ἀπὸ μὲν κτίσεως κόσμου ΖΞΒ ἀπὸ δὲ τῆς τοῦ Χριστοῦ ἐνσάρκου οἰκονομίας ΑΦΝΔ Ἰνδικτιῶνος ΙΒ ἐν μηνὶ Φεβρουαρίου ιδ' ἡμέρα ε' ὥρα ϛ', τοῦ μὲν ἡλίου κύκλον ἔχοντος ϛ', τῆς δὲ Σελήνης κύκλον μὲν ἐχούσης ΙΓ' Θεμέλιον δὲ ΚϚ' τοῦ Χριστιανῶν Πάσχα τότε ὄντος ἐν μηνὶ μαρτίῳ ΚΕ'.

---

***Ἔστι δὲ ἡ σύμπασα ἀκολουθία σὺν τοῖς τρισὶ κανόσι ποίημα Δαμασκηνοῦ Ἱερομονάχου τοῦ Θεσσαλονικέως ὅστις πολλὰ παρακληθεὶς ὑπὸ τοῦ ὁσιωτάτου καθηγουμένου τῆς σεβασμίας μονῆς τοῦ Μετεώρου Παπᾶ Κὺρ Σισινίου τοῦ ἐν Ἱερομοναχοπνευματικοπατράσιν αἰδεσίμου. συνεγράψατο ταύτην ἐν ἔτει ΖΞϚ'—.***

---

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

Συνέχεια Σημειώσεων σελ. 48

Περὶ Ἀκακίου Διακρούση (πρβλ. Νεοελλ. Φιλολ. Α: Βρεττοῦ Α′ σ. 196)·

Περὶ τοῦ συντάκτου τοῦ Κυριακοδρομίου Ἀγαπίου Μοναχοῦ, ὁ Καισάριος Δαπόντες γράφει «Ἀγάπιος Μοναχὸς Ἰθακήσιος ἀποστολικὸς κῆρυξ ἱκανὸς καὶ ἐνάρετος (πρβλ. Κ. Σάθα Μεσ. Βιβλ. Γ′ Βενετία 1872 σελ. 131), ὁ δὲ Δημ. Προκοπίου «εἰδήμων τῆς Ἑλλην. γλώσσης πεπαιδευμένος τῆς τε θύραθεν παιδείας καὶ τῆς Ἱερᾶς Θεολογίας ἐμπειρότατος κήρυξ τοῦ Εὐαγγελικοῦ λόγου» (πρβλ. περὶ Λογίων Γραικῶν σελ. 503).

Ὁ δὲ Ἀρσένιος Καλούδης ἦτο Ἱεροκήρυξ καὶ διδάσκαλος ἔτει 1680 τοῦ ἐν Παταβίῳ Κωττινιανοῦ Φροντιστηρίου καὶ συγγραφεὺς τοῦ Προσκυνηταρίου τῶν Ἱερῶν τόπων. (πρβλ. Ἀ. Μουστοξύδη Ἑλληνομν. Γ′ σ. 184)

Ὁ Πᾶνος Ἱερομνήμων εἰς ὃν ὁ Ἀκάκιος Διακρούσης ἀφιερώνει τὸ Κυριακοδρόμιον ἦτο εὐπατρίδης διερμηνεὺς τοῦ ἐν Κωνσταντινουπόλει Μεγάλου Βεζύρου (πρβλ. Ἰω. Βελούδου ἐν Χρυσαλλίδι 1863 σελ. 16) ἀναφέρεται δὲ ὡς εὐεργέτης ἔτει 1691 τῆς ὑπὸ Ἐπιφανίου ἐφημερίου τοῦ ἐν Βενετίᾳ Ἑλληνικοῦ Ναοῦ ἱδρυθείσης Σχολῆς ἐν Ἰωαννίνοις (πρβλ. Μ. Παρανίκα Σχεδίασμα ἐν Κων)πόλει 1867 σελ 63 ὑποσ.).

Νικολάου τοῦ ἀπὸ Στρατιωτῶν (Δεκ. κδ) ὁ βίος ὑπάρχει ἐν τῇ Μονῇ Βατοπεδίου οὗ ἡ ἀρχὴ «Οὗτος ὁ ἅγιος Νικόλαος ἦτο στρατιώτης» τὸ τέλος «ἔγινε διακριτικώτατος καὶ μέγας πατήρ». (Πρβλ. Σωφρονίου Εὐστρατιάδου πρώην Λεοντοπόλεως Συμπλήρωμα Ἁγιορειτικῶν καταλόγων Paris 1930 σελ. 59).